15. «*Στίχοι αστειοι προς το περέχαρον γενέσθαι τὸν ἄν(θρω)πον· καὶ μύθει εἰσὶ περιχαρεὶς τε πάνυ*», φ. 188α—217β, καὶ ὁ **ΜΟΥΛΟΛΟΓΟΣ**, φ. 218—235. Τὸ ὑπὸ Wagner ἐν Carm. medii aevi ἐκδοθὲν δημοτικὸν τοῦτο ποίημα ἐξετάζεται λεπτομερέστερον ἐν τῷ «Παλαιογραφικῷ δελτίῳ» τοῦ ις' τόμου τοῦ ἐν Κωνσταντινουπόλει Ἑλληνικοῦ Φιλολογικοῦ Συλλόγου.

16. «*Ἀρχὴ του φησιολογου· περὶ ἀέτοῦ*», φ. 236β—291. Τὸ κείμενον ἐν δημοτικῇ φράσει. Ὁ **ΦΥΣΙΟΛΟΓΟΣ** οὗτος ἔχει σημασίαν τινὰ καὶ ὑπὸ ἐπιστημονικὴν καὶ ὑπὸ γλωσσικὴν ἔποψιν, διὸ καὶ καταχωρηθήσεται ὁλόκληρος ἐν ἑτέρᾳ βίβλῳ· σύγκειται δὲ ἐξ 90 κεφαλαίων κατὰ τὸν ἐν τῷ κώδικι πίνακα, οὗ σώζεται μόνον τὸ τέλος ἀπὸ τοῦ ἀριθ. ος'—ᾳ (φ. 226α), ἀλλ' ἐν τέλει ἐλλείπουσιν ἴσως δύο φύλλα, διότι μέχρι τέλους τοῦ 281β φ. ἀναγινώσκεται ἡ ἀρχὴ τοῦ 88 κεφαλαίου.

Ἀριθ. 93.

Τεῦχος χαρτῷον εἰς 8ον (0,205×0,15) τῆς ΙΣΤ' ἑκατονταετηρίδος· **Νομοκάνων** φέρων ἐπιγραφήν· «*Τύπος κανόνων πατέρων νομογράφων συνόδων, σεπτῶν ἀρχῆθεν χαραχθήσας*». Ἦν κτῆμα Μητροφάνους ἱερομονάχου, ὅστις ἔγραψεν εἰς τὸ τέλος τὸ ἑξῆς σημείωμα· «*†εἰς ἔτους ζρμδ (=1636) χιλίους ἑξακοσίους λς' ἐν μηνῇ φευρουαρίου, ις' ἡμέρα τρίτη ξημερόνοντας εἴστας δεκαεπτὰ ἡμερα δ' εἰς πέντε ὥραις της νηκτός ἔγηνεν σισμὸς μέγας ὥστε ιχαλοῦσαν τα σπήτια καὶ ἐτρόμαξαν ἰαποι (=οἱ ἄνθρωποι) μεγάλως τοναυτὸν χρόνον εἰς τας γ' του ἰουνίου εἰς τὴν πρώτην ὥραν τῆς νηκτός ξημερόνοντας τὸ σαβάτω ἐκαμεν χάλαζαν μεγάλον καὶ ἐχάλασεν ταδένδρι καὶ τας αμπέλους ὡς τε μόνον ὁ θεὸς βοηθῆσι*».— Ἕπονται ἕτεραι ἄνευ σημασίας ὑπομνήσεις, ὧν μία ἀναφέρεται εἰς τὸ ἔτος ζρο' (=1662) — Καὶ «*† ἐτοῦτο τὸ νόμιμον ὑπάρχει κάμοῦ Μητροφάνους τάχα καὶ ἱερομονάχου κι' ὅπιος τὸ ἀποζενόσει ἀπο τας χίρας μου ζῶντας να ἔχι τας ἀρὰς τῶν τριακοσίων τ καὶ ὀκτῶ θεοφόρων πατέρων τῶν συνελθόντων*» κτλ. Τὸ σημείωμα τοῦτο γέγραπται ἐπὶ τῆς πινακίδος τοῦ σταχώματος.

Ἀριθ. 94.

Τεῦχος χαρτῷον εἰς 8ον (0,25×0,15) τῆς ΙΕ' ἑκατονταετηρίδος.

Ἀνθολόγιον τῶν μηνῶν Σεπτεμβρίου, Ὀκτωβρίου, Νοεμβρίου καὶ Δεκεμβρίου.

1. Fabr. Bibl. Gr. X, σ. 261.

2. Ὁ αὐτὸς βίος ἄνευ τοῦ προοιμίου παρεφράσθη καὶ ὑπὸ Ἀγαπίου τοῦ Λάνδου (Παράδεισος σ. 178). Ἴδε Νικοδήμου Ἁγιορείτου, Α', σ. 266.

Εἰς τὸ τέλος ἀναγινώσκονται τὰ ἑξῆς μεταγενέστερα (γρ. ΙΣΤ' αἰῶνος) σημειώματα· «*Τῶ παρῶν βιβλίων ὑπάρχει Δανιὴλ ἱερομονάχου τάχα καὶ προηγουμένου*». «*Ἰωάννου Γεωργίου, Μάρκου Πατέστου Μηχαὴλ Γεωργίου Κωνσταντὴ Ῥηγάκουλου Γεωργίου Παλιαροῦ. Γεωργίου Μαυρὴλ*».

Ἀριθ. 95.

Τεῦχος χαρτῶον εἰς 8^{ον} (0,215×0,145) γραφὲν περὶ τὰ τέλη τῆς ΙΔ' ἑκατονταετηρίδος. Ἐπιγράφεται·

«**Ποίημα** Ιω(άννου) τοῦ **Δαμασκηνοῦ**. Κανόνες σὺν Θεῷ ἐγκωμιαστικοὶ καὶ παρακλητικοί, εἰς τὴν ὑπεραγίαν Θεοτόκον ἤτοι ὀκτῶ ἤχων». Τὸ τέλος ἐλλείπει. — Ὁ σταχωτὴς προσέθηκεν ἔσωθεν τῶν πινακίδων δύο φύλλα μεμβρόνινα (ΙΔ' ἑκατοντ.) περιέχοντα ᾠδάς τινας κανόνος εἰς τὴν Θεοτόκον.

Ἀριθ. 96.

Τεῦχος χαρτῶον εἰς 8^{ον} (0,193×0,135) γραφὲν τῷ 1602 ὑπὸ Ῥαφαὴλ τοῦ ἐκ τῆς μονῆς Λειμῶνος.

Ἀκολουθέαι εἰς ἁγίους τοῦ μηνὸς Ἰουλίου· ἀκέφαλον. Εἰς τὸ τέλος: «*† Πληρώσας εἶπον Χριστὲ σοὶ δόξα πρέπει· θύτης τελήμων Ῥαφαὴλ ἀρετῆς πάσης ξένος· εἰς τὸ ἅγιον Ὄρος. Ἐν ἔτει ζρι' Ἰου(λίῳ) κγ'*».

Ἀριθ. 97.

Τεῦχος χαρτῶον εἰς 8^{ον} (0,20×0,148) τῆς ΙΕ' ἑκατοντ., ἐσταχωμένον, ἔχον ἔσωθεν τῶν πινακίδων δύο φύλλα μεμβρ. κώδικος τῆς ΙΑ' ἑκατονταετηρίδος, ἅτινα φέρουσι μέρος ἐκκλησ. ὁμιλίας.

Τὰ τέσσαρα Εὐαγγέλια.

Ἀριθ. 98.

Τεῦχος χαρτῶον εἰς 8^{ον} (0,215×0,155) γραφὲν περὶ τὰς ἀρχὰς τῆς ΙΣΤ' ἑκατοντ. Εἰς τὴν ἀρχὴν τοῦ 1^{ου} φύλλου ἀναγινώσκεται ἡ ἑξῆς τοῦ γραφέως σημείωσις· «*† βιβλίον τῶν ἐνδόξων ἀποστόλων Πέτρου καὶ Παύλου τῆς Σκήτεως*». Περιεχόμενα·

1. «Τοῦ ἀββᾶ **Δωροθέου** διδασκαλίαι διάφοροι πρὸς τοὺς ἑαυτοῦ μαθητάς, ἀναχωρήσαντος αὐτοῦ ἐκ τῶν τοῦ ἀμβᾶ Σερίδου καὶ τὸ ἴδιον σὺν Θεῷ συστησάμενος μοναστήριον μετὰ τοῦ ἀββᾶ Ἰω(άννου) τὴν τελευτὴν καὶ τελείαν σιωπὴν τοῦ ἀββᾶ Βαρσανουφίου». Ἀρχ. «*Περὶ ἀποταγῆς. Ἐν ἀρχῇ ὅτε ἐποίησεν*»[1] κτλ. φ. 1^{α}.

2. «**Του αυτου** περὶ τῶν ἁγίων νηστειῶν». Ἀρχ. «*Ἐν τῷ νόμῳ προσέταξεν ὁ Θεός*»[2], φ. 153^{β}.

3. «**Του αυτου** ἐπιστολὴ πρὸς ἀδελφὸν ἐπερωτήσαντα αὐτόν, περὶ ἀναισθησίας ψυχῆς, καὶ περὶ ψύξεως ἀγάπης». Ἀρχ. «*Περὶ τῆς ἀναισθησίας τῆς ψυχῆς*»[3], φ. 159^{β}.

4. «**Του αυτου** ἐρωτήσεις καὶ ἀποκρίσεις». Ἀρχ. «*Πῶς δύναμαι ἐκκόψαι τὴν παρρησίαν*»[4], φ. 172^{α}.

5. «**Του αυτου** πρός τινας κελλιώτας ἐπερωτήσαντας αὐτὸν περὶ τοῦ παραβάλλειν». Ἀρχ. «*Λέγουσιν οἱ πατέρες, ὅτι τὸ καθίσαι*»[5], φ. 179^{α}.

6. «**Του αυτου**, πρὸς τοὺς ἐν τῷ μοναστηρίῳ ἐπιστάτας καὶ μαθητάς, πῶς δὴ (sic) ἐπιστατεῖν ἀδελφῶν· καὶ πῶς τοῖς ἐπιστατοῦσιν ὑποτάσσεσθαι» Ἀρχ. «*Ἐὰν ἀδελφῶν ἐπιστάτης*»[6], φ. 184^{β}.

7. «**Του αυτου** ῥήματα διάφορα ἐν συντόμῳ». Ἀρχ. «*Ὁ ἀββᾶς Δωρόθεος ἔλεγεν*»[7], φ. 188^{β}.

8. **Ιω. χρυσοστομου** «περὶ νήψεως καὶ προσευχῆς». Ἀρχ. «*Ἀδιαλείπτως προσεύχεσθε*», φ. 194^{α}.

9. **Λαβραου** «περὶ ὁδῶν, τῶν πλησιάζειν Θεῷ ποιουμένων, φανερουμένων τῷ ἀνθρώπῳ, ἐκ τῶν ἡδέων ἔργων τῆς νυκτερινῆς ἀγρυπνίας· καὶ ὅτι οἱ ἐν τῇ διαγωγῇ ταύτῃ ἐργαζόμενοι, μέλι διατρέφονται». Ἀρχ. «*Μὴ νομίσῃς, ὦ ἄνθρωπε, ὅτι ἐν πάσῃ ἐργασίᾳ*», φ. 199^{α}.

10. «**Νικηφορου μοναχου** λόγος· περὶ φυλακῆς καρδίας, ὠφέλιμος ἄγαν». Ἀρχ. «*Ὅσοι τῆς μεγαλοπρεποῦς*», φ. 208^{α}.

11. **Γρηγ. Ναζιανζηνου** «εἰς τὰ ἅγια Θεοφάνια, εἴτουν γενέθλια». Ἀρχ. «*Χριστὸς γεννᾶται*», φ. 215^{α}.

12. **Του αυτου** «εἰς τὸ Πάσχα». Ἀρχ. «*Ἐπὶ τῆς φυλακῆς μου*», φ. 231^{α}.

13. **Λαβραου** «περὶ τῶν ἀγγέλων». Ἀρχ. «*Πᾶσαι αἱ οὐράνιαι οὐσίαι*», φ. 260^{β}.

1. Migne, Patrol. τ. 88, σ. 1617.
2. Αὐτ. σ. 1778.
3. Αὐτ. σ. 1812.
4. Αὐτ. σ. 1812.
5. Αὐτ. σ. 1793.
6. Αὐτ. σ. 1800.
7. Αὐτ. σ. 1808.

14. **Λαβραου** «περὶ τῶν τριῶν μοναχῶν τῶν αἰχμαλωτισθέντων εἰς Ἀφρικήν». Ἀρχ. «*Ἐν τοῖς μέρεσι τῆς Καλαβρίας ἐστὶ μοναστήριον εἰς τὸ ὄρος*», φ. 261^{α}.

15. «Ἐκ τοῦ Γεροντικοῦ» ἀπόσπασμα, οὗ ἡ ἀρχή: «*Ἦλθε ποτὲ εἰς τὴν Ῥαιθὼ ἄνθρωπος*», φ. 264^{α}.

Ἀριθ. 99.

Τεῦχος χαρτῶον εἰς 8^{ον} (0,24×0,16) γραφὲν περὶ τὰ τέλη τῆς ΙΔ' ἑκατονταετηρίδος.

Εὐαγγέλια ἔχοντα ἐν ἀρχῇ τὴν ἐπιγραφὴν ταύτην· «*Ἀρχὴ σὺν Θεῷ πετραβάγγελος*». Τὸ κατὰ Λουκᾶν εὐαγγέλιον ἐλλείπει· τὸ κατὰ Ἰωάννην παντελῶς ἐλλείπει. Προτάσσεται δὲ ἑκάστου πίναξ τῶν κεφαλαίων. Ἐν τῷ τεύχει τούτῳ ὑπάρχει καὶ ἡ εἰκὼν τοῦ εὐαγγελιστοῦ Μάρκου ἐν προτομῇ, βλέποντος πρὸς ἀριστερὰν καὶ κρατοῦντος ἐν ταῖς δυσὶ χεροὶ βιβλίον.

Ἀριθ. 100.

Τεῦχος χαρτῶον εἰς 8^{ον} (0,217×0,155)· ὁ χάρτης στιλπνός· ἐγράφη φιλοκάλως τῷ 1588 ὑπὸ Ἱεροθέου ἱεροδιακόνου.

Αἱ τέσσαρες λειτουργίαι.—Ἀποστολοευαγγέλια.—Ἀκολουθία τοῦ μικροῦ ἁγιασμοῦ.—Εὐχαὶ τῶν κολίβων καὶ «*εὐχὴ λεγομένη ὑπὸ ἀρχιερέως ἢ πνευματικοῦ πατρὸς ἐπὶ τοὺς μέλλοντας μεταλαβεῖν*» κτλ. Εἰς τὸ τέλος τῆς τῶν προηγιασμένων λειτουργίας ἀναγινώσκεται ἡ ὑπογραφὴ τοῦ γράψαντος· «*Ἐν ἔτει ζκς' ῑ ε ρ θ*» (= Ἱεροθέος). Ἐν δὲ τῷ κάτω κρασπέδῳ τοῦ 1^{ου} φ. ἀναγινώσκομεν· «*† Μνήσθητι ὦ ἱερὲ θύτα, κάμοῦ τοῦ ἁμαρτολοῦ Ἱεροθέου, ἱεροδιακόνου*».

Ἀριθ. 101.

Τεῦχος χαρτῶον εἰς 8^{ον} (0,215×0,145) τῆς ΙΣΤ' ἑκατονταετηρίδος.

«*Διάφοροι διαφοραί, καὶ διαθέσεις εἰς τοὺς ἐξομολογουμένους κρύφια ἁμαρτήματα· αἱ συγγραφεῖσαι ὑπὸ* **Ιωαννου** *μοναχοῦ, διακόνου, μαθητοῦ τοῦ ἁγίου καὶ μεγάλου Βασιλείου, οὕτινος ἡ ἐπωνυμία* (sic) **Τέκνον ὑπακοῆς**»[1].

Προτάσσεται πίναξ τοῦ περιεχομένου, ὅπερ διαιρεῖται εἰς μβ' κεφάλαια, μεθ' ἃ ἀναγινώσκονται διάφορα περὶ ἐξομολογήσεως ἀποσπάσματα ἐκ τῶν συνοδικῶν κανόνων καὶ ἐκ τῶν πατέρων τῆς Ἐκκλησίας. Ἐν τέλει δὲ τοῦ τεύχους ὑπάρχουσι δύο εὐχαὶ σλαβιστὶ γεγραμμέναι.

1. = τοῦ ἐξ Ἀγιάσου, πόλεως τῆς νήσου Λέσβου. Ἴδε ἀνωτ. σ. 72.

Ἀριθ. 102.

Τεῦχος χαρτῶον εἰς 8^{ον} (0,212×0,15) γραφὲν ἐν ἔτει 1775· ἦν δὲ κτῆμα *Παναγιώτου Ἀγιασιώτου*[1] κατὰ τὴν ἑξῆς λατινικοῖς γράμμασι σημείωσιν ἐν φ. 1^{α}. «Do paron vivlion christoiffia calumenon ine di Panagioti Agiasoti». Περιέχει δὲ τὸ τεῦχος συγγραφάς τινας **Δαμασκηνοῦ** *πατριάρχου τοῦ* **Κεραμεως** *καὶ ψυχαγωγίαν* τοῦ αὐτοῦ εἰς διάφορα θεολογικά τε καὶ μὴ συγγράμματα, ἑρμηνευθέντα ὑπ' αὐτοῦ ἐν καιρῷ τῆς ἐν Πάτμῳ σχολαρχίας του. Αἱ ἑρμηνεῖαι, τὰ σχόλια καὶ αἱ ὑποθέσεις ἀναγινώσκονται ἐν τοῖς κρασπέδοις, αἱ δὲ ἐξηγήσεις τῶν λέξεων εὑρίσκονται ἄνωθεν τῶν στίχων (schol. margin.).

1. «Θέματα παρὰ Δανιὴλ μοναχοῦ Πατμίου», φ. 2^{α}.

2. «Στίχοι ἴαμβοι χρηστοηθείας πλήρεις, παραφρασθέντες, Δανιὴλ τῷ Πατμίῳ χάριτι μέτρου εἰσαγωγικῶν χάριν». Ἀρχ. «*Ψυχὴ καὶ σῶμα οὐσία βροτῶν πέλει*», φ. 42^{α}.

3. «Γαλεωμυομαχία· τὰ τοῦ δράματος πρόσωπα. Κρείλλος. Τυροκλόπος. Κῆρυξ. Χορός. Θεραπαινίδες» κτλ. φ. 66.

4. «**Αμφιλοχιου** ἐπισκόπου Ἰκονίου ἐπιστολὴ ἰαμβικὴ (sic) πρὸς Σέλευκον». Ἀρχ. «*Χαίρειν κελεύω*», φ. 82^{α}.

5. «**Πυθαγορου** χρυσᾶ ἔπη», φ. 99^{α}.

6. «**Αφθονιου** σοφιστοῦ, ὑποδείγματα τῶν προγυμνασμάτων». Ἀρχ. «*Θέρους ἦν ἀκμή*», φ. 102^{α}. Παρέπονται *Σοφίας ἐγκώμιον* (φ. 110^{α}), *Ψόγος Φιλίππου* (φ. 111^{β}), *Θέσις εἰ γαμητέον* (φ. 115^{β}), *Κατηγορία νόμου τοῦ κελεύοντος ἐπαυτοφώρῳ τὸν μοιχὸν κτείνεσθαι* (φ. 118^{β}) καὶ *παραδείγματα τῶν προγυμνασμάτων* (φ. 122).

7. «**Βασιλειου** Μακεδῶνος (sic) αὐτοκράτορος Ῥωμαίων παραίνεσις πρὸς τὸν ἑαυτοῦ υἱὸν Λέοντα τὸν Σοφόν· ἧς ἡ ἀκροστιχὶς ὧδέ πως ἔχει: Βασίλειος ἐν Χριστῷ βασιλεὺς Ῥωμαίων Λέοντι τῷ πεποθημένῳ υἱῷ καὶ συμβασιλεῖ». Διαιρεῖται εἰς ξς' κεφάλαια· τοῦ πρώτου κεφα-

1. Fabr. Bibl. Gr. XI, σ. 111 ἐκδ. Harless.

λαίου ἡ ἀρχὴ ἔχει οὕτω· «*Βιωφελές τι χρῆμα*», φ. 176ᵃ.

8. «ΦΩΤΙΟΥ τοῦ ἁγιωτάτου πατριάρχου τοῦ Κωνσταντινουπόλεως ἐκ τῆς πρὸς Μιχαὴλ τὸν ἄρχοντα Βουλγαρίας ἐπιστολῆς, τί ἐστιν ἔργον ἄρχοντος». Ἀρχ. «*Αἱ μὲν ἄλλαι χάριτες*», φ. 208. Ἐν τέλει τοῦ κειμένου ὁ γράψας ἀνώνυμος τοῦ Δανιὴλ Κεραμέως μαθητὴς ἐσημείωσε τὴν χρονολογίαν ταύτην· «*Τῷ ᾳψοεʹ Δεκεμβρίῳ κγʹ ἡμέρᾳ δʹ*».

9. ΒΑΣΙΛΕΙΟΥ ΚΑΙΣΑΡΕΙΑΣ «λόγος ὅτι οὐκ ἔστιν αἴτιος τῶν κακῶν ὁ Θεός». Ἀρχ. «*Πολλοὶ τῆς διδασκαλίας οἱ τρόποι*», φ. 259.

10. «ΤΟΥ ΑΥΤΟΥ ὁμιλία ιδʹ, κατὰ μεθυόντων». Ἀρχ. «*Κινεῖ μέν με πρὸς τὸν λόγον*», φ. 278. Τὸ τέλος τοῦ λόγου τούτου δὲν ὑπάρχει.

Ἀριθ. 103.

Τεῦχος χαρτῶον εἰς 8ᵛᵒ (0,215×0,14) γραφὲν πιθανῶς περὶ τὰς ἀρχὰς τῆς ΙΕʹ ἑκατονταετηρίδος. Ἡ ἀρχὴ ἐλλείπει, διότι δεκατέσσαρα περίπου φύλλα εἰσὶν ἀποκεκομμένα, μεθ' ἃ εὑρίσκονται ἕτερα ἑπτὰ φύλλα ἔχοντα τὸ τέλος ὁμιλίας. Περιέχει δὲ τὸ τεῦχος τὰ ἀκόλουθα μοναστικὰ κείμενα.

1. «Διήγησις περὶ μοναχοῦ πλανηθέντος καὶ περὶ ψυχῆς». Ἀρχ. «*Γράφει ὁ Κύριος ἡμῶν*», φ. 7ᵇ.

2. «Διήγησις περὶ ἐλεημοσύνης». Ἀρχ. «*Γράφει ὁ εὐαγγελιστὴς Ματθαῖος*», φ. 18ᵇ.

3. «Λόγος εἰς τὴν 6ᵃᵛ κυριακὴν τῶν νηστειῶν». Ἀρχ. «*Ὁ τῆς τεσσαρακοστῆς καιρὸς*», φ. 29ᵃ.

4. ΙΩ. ΧΡΥΣΟΣΤΟΜΟΥ «εἰς τὴν τρίτην ἑβδομάδα τῆς τεσσαρακοστῆς». Ἀρχ. «*Ἰδοὺ χάριτι Χριστοῦ*», φ. 36ᵇ.

5. «Λόγος περὶ τοῦ Λαζάρου». Ἀρχ. «*Ὁ μακάριος ἀπόστολος καὶ εὐαγγελιστὴς Ἰωάννης*», φ. 43.

6. «Λόγος εἰς . . . . . .». Ἀρχ. «*Δωρεὰν μὲν καὶ ἐπερίσαμεν*», φ. 54ᵃ.

7. «Βίος καὶ πολιτεία τοῦ ἁγ. καὶ δικαίου καὶ ἐλεήμονος Φιλαρέτου καὶ τῶν πράξεων καὶ τῶν καλῶν ἔργων αὐτοῦ». Ἀρχ. «*Βίον θεάρεστον καὶ πολιτείαν*», φ. 56.

8. ΙΩ. ΧΡΥΣΟΣΤΟΜΟΥ «λόγος κατανυκτικός». Ἀρχ. «*Βασιλέως μὲν τοῦ ἐπιγείου*», φ. 67ᵇ.

9. Βίος καὶ πολ. τῆς ἁγ. Βαρβάρας. Ἀρχ. «*Κατ' ἐκείνους τοὺς καιρούς*»[1], φ. 98ᵃ.

1. Fabr. X, σ. 203.

10. ΛΑΠΛΟΥ λόγος εἰς τὴν ἁγ. Ἀνάληψιν. Ἀρχ. «*Μετὰ τὸ ἀναληφθῆναι*», φ. 105ᵇ.

11. ΕΦΡΑΙΜ τοῦ ΣΥΡΟΥ «λόγος περὶ τῆς συντελείας καὶ περὶ τοῦ Ἀντιχρίστου καὶ περὶ ἀγάπης». Ἀρχ. «*Ἀγαπητοί, μηδὲν προτιμησώμεθα*», φ. 135ᵃ.

12. «ΛΕΟΝΤΙΟΥ πρεσβυτέρου Κ/πόλεως, λόγος εἰς τὰ Βαΐα καὶ εἰς τὸν Λάζαρον». Ἀρχ. *Τοὺς τῆς εὐσεβείας καθηγητὰς*», φ. 163ᵇ.

13. ΕΦΡΑΙΜ τοῦ ΣΥΡΟΥ «λόγος περὶ ὑπομονῆς καὶ συντελείας τοῦ αἰῶνος τούτου, καὶ τῆς τῶν θείων Γραφῶν μελέτης, καὶ τί τὸ τῆς ἡσυχίας ὠφέλιμον». Ἀρχ. «*Λαμπρὸς ὁ βίος τῶν δικαίων*», φ. 174ᵇ.

14. ΙΩ. ΧΡΥΣΟΣΤΟΜΟΥ «λόγος κατὰ πλουσίων, καὶ περὶ ἐλεημοσύνης πενήτων». Ἀρχ. «*Οἱ λειμῶνες ἔχουσι ποικίλα*»[1], φ. 191ᵇ.

15. «ΤΟΥ ΑΥΤΟΥ Χρυσοστόμου λόγος εἰς τὸν εὐαγγελισμὸν» κτλ. Ἀρχ. «*Πάλιν χαρᾶς εὐαγγέλια*»[2], φ. 201ᵃ.

16. ΤΟΥ ΑΥΤΟΥ «λόγος εἰς τὸν πρωτόπλαστον Ἀδάμ». Ἀρχ. «*Ἄνθρωπός τις κατέβαινεν*», φ. 206ᵇ.

17. ΤΟΥ ΑΥΤΟΥ «λόγος περὶ τῆς αἰωνίου καὶ ἀτελευτήτου κολάσεως». Ἀρχ. «*Μηδαμῶς, ὦ ἀδελφοί*», φ. 209.

18. «Θαῦμα περὶ τοῦ ἑβραίου τὸ πῶς ἴδεν (sic) τὸν Χριστὸν μελιζόμενον». Ἀρχ. «*Ἑβραῖος τίς ἐστιν*», φ. 215ᵇ.

19. «Περὶ τῆς τῶν *Ἀρειανῶν* αἰτήσεως(sic) πρὸς τὸν βασιλέα Οὐάλεντα κατὰ τῶν ὀρθοδόξων». Ἀρχ. «*Μετὰ τὴν πρὸς ἡμᾶς ἄφιξιν Οὐάλεντος*», φ. 216ᵇ.

20. «Περὶ τῆς γυναικὸς τῆς ἁμαρτωλῆς τῆς γραψάσης ἐν χάριτι τὰς ἁμαρτίας αὐτῆς». Ἀρχ. «*Ἐν τοῖς χρόνοις τοῦ ἁγιωτάτου καὶ μακαριωτάτου ἀρχιεπισκόπου Βασιλείου*», φ. 220ᵇ.

21. «Περὶ Ἰωσὴφ τοῦ ἑβραίου τοῦ τὴν τέχνην ἰατροῦ». Ἀρχ. «*Ἰωσήφ τις ἦν ἐν τῇ πόλει*», φ. 225ᵃ.

22. ΕΠΙΦΑΝΙΟΥ ΚΥΠΡΟΥ «λόγος εἰς τὸν Ἐπιτάφιον». Ἀρχ. «*Τί τοῦτο σήμερον*», φ. 230ᵃ.

23. Μαρτύριον τῶν ἁγίων τεσσαράκοντα μαρτύρων τῶν ἐν Σεβαστείᾳ τῇ λίμνῃ μαρτυρησάντων. Ἀρχ. «*Κατὰ τοὺς καιροὺς Λουκιλίου*», φ. 252ᵃ.

24. «Διήγησις περὶ τῆς εὑρέσεως τοῦ τιμίου

1. Migne, Patrol. τ. 60, σ. 707.
2. Αὐτ. τ. 50, σ. 791.

μιμνήσκεται πολλαχοῦ τοῦ φίλου αὐτοῦ πατριάρχου Σχολαρίου ὡς τεθνεῶτος, ὅστις πασίγνωστόν ἐστιν ὅτι ἐτελεύτησε τῷ 1460. Ὁ δὲ μέγας ἐκκλησιάρχης (ἀριθ. 5) εἶναι ἀναντιρρήτως ὁ ἀπὸ τοῦ πατριάρχου Ἰωάσαφ τοῦ Κόκκα διαπρέψας ἐν τοῖς πράγμασι τοῦ πατριαρχείου Μανουὴλ ὁ μέγας ἐκκλησιάρχης, ὁ μετὰ ταῦτα καὶ πατριάρχης χρηματίσας ὑπὸ τὸ ὄνομα Μάξιμος Βʹ[1]. Ἡ προτελευταία ἐπιστολὴ (ἀριθ. 8) ἐπέμφθη Μανουὴλ Παλαιολόγῳ, ἀνδρὶ εὐγενεστάτῳ· τοῦτον δέ, ἀπόγονον ὄντα ἀναμφιβόλως τοῦ τελευταίου οἴκου τῶν Παλαιολόγων, δὲν εὑρίσκω μὲν ἀναφερόμενον παρὰ Δουκαγγίῳ (Aug. Fam.), ἀλλὰ καὶ δὲν διστάζω νὰ συνταυτίσω τῷ ὁμωνύμῳ τοῦ Θωμᾶ Παλαιολόγου υἱῷ, ὅστις, ὡς ἔγνωσται, δραπετεύσας ἐκ Ῥώμης ἀφίκετο εἰς Κωνσταντινούπολιν, ἔνθα ὁ κατακτητὴς Μωάμεθ ὁ Βʹ περιεποιήθη τοῦτον ἡγεμονικῶς δωρησάμενος αὐτῷ χρήματα, ὑπηρέτας καὶ χωρία[2].

Καὶ ταῦτα μὲν περὶ Θεοφάνους τοῦ Μηδείας καὶ Γεωργίου Ἀμηρούτζη, αἱ δὲ ἐπιστολαὶ αὐτῶν ἔχουσιν οὕτω[3].

ΤΟΥ ΜΗΔΕΙΑΣ ΘΕΟΦΑΝΟΥΣ ΚΑΙ ΦΙΛΟΣΟΦΟΥ ΑΜΟΙΡΟΥΤΖΗ

ἀμοιβαῖαι ἐπιστολαὶ περὶ τοῦ ἐρεξῆς συγγράμματος[4].

Ι.

Ὁ Μηδείας τῷ φιλοσόφῳ.

Ὀλίγα τῶν ἐμῶν συγγραμμάτων ἰδεῖν ἐπιζητήσαντι, ἄσμενος τὸν λόγον δεξάμενος τὰ πλείω σοι πέπομφα, ἀνδρῶν ἄριστε, οὐ κατ' ἐπίδειξιν τὸ θαῦμα θηρώμενος (οὐ γὰρ εἴτι καὶ θαύματος ἄξιον πρόσεστιν αὐτοῖς τοῦτ' ἐμὸν τίθεμαι, τῶν δὲ συγγραψαμένων τὴν ἀρχήν, ὧν καὶ συγγράμματα μᾶλλον ἂν καλοῖντο, ἐξ ὧν καὶ ἐξ ἑράνου ταῦθ' ἡμῖν συντέθειται), ἀλλὰ τὸν τοῦ ψεύδους ἔλεγχον γνωρίζων καὶ τὴν τῆς ἀληθείας ἐπικουρίαν τῇ τε σῇ σοφίᾳ καὶ ἄλλοις τῆς ἀληθείας φίλοις· τῷ δὲ τελείῳ τῆς σῆς σοφίας ἔνεστι συνιδεῖν, εἰ καλῶς ταῦτα συντέτακται, μήπου τι καὶ ἡμᾶς οἴκοθεν παρενείραντας λέληθεν ἡ τοῦ ὀρθοῦ ἀκρίβεια, ᾧ καὶ μᾶλλον συντίθεμαι· ἀποχρήσει δ' ἡ τῆς σῆς σοφίας ἐπίκρισις ἀντὶ πάντων τῶν εὐφημουμένων ἐπὶ σοφίᾳ, ὧν ὑπέρτερος μὲν ἦσθα, εἰ κατ' ἐκείνους ἐγεγόνεις, καὶ νῦν δ' ἐκείνων μετ' ἐκείνους οὐδενὸς εἶ δεύτερος. Μὴ ἀπαξιώ-

1. Turcograecia, σ. 21, 26, 122, 131.
2. Ἴδε C. Hopf, Griechenland ἐν Ersch u. Gruber Allgem. Encyklop. τ. 86, σ. 132.
3. Ὁ κῶδιξ, ἐξ οὗ αἱ ἐπιστολαὶ αὗται ἀντεγράφησαν, εἶναι πάνυ ὀρθῶς γεγραμμένος, ἡ δὲ στίξις ἐλαχίστας ἀνωμαλίας ἔχει. Τὸ ὑπογεγραμμένον ι ἐλλείπει. Σημειώσεως δὲ ἄξιαί εἰσι μόνον αἱ ἑπόμεναι σύνθετοι λέξεις, συνεχέστατα ἀπαντῶσαι ἐν τοῖς χειρογράφοις· ἐξ α ν ά γ κ η ς (ἀριθ. α' σειρᾶς 1), ὑ π ε ρ λ ί α ν (α' 3), τ η ν α ρ χ ὴ ν τρὶς (α' 5, 6' 3, 6' 6), δ ι α π α ν τ ὸ ς (α' 5), κ α θ ο μ ο ι ό τ η τ α (α' 5), ἐ π ι τ ο π λ εῖ σ τ ο ν (α' 5), ἔ σ θ ο τ ε (α' 6), δ ι α τ οῦ τ ο (α' 6').
4. Ἴδε τὴν ἐπιγραφὴν τοῦ συγγράμματος τούτου ἐν σελ. 18. Τὸ δὲ ὄνομα τοῦ Ἀμηρούτζη πολλαχῶς γράφεται· τοῦ Θεοφάνους τὴν γραφὴν διὰ τοῦ οι ἐνταῦθα μόνον εὑρίσκω. — Ὁ Ἀμηρούτζης συνέγραψε διάλογον περὶ τῆς εἰς Χριστὸν πίστεως μετὰ τοῦ βασιλέως τῶν Τούρκων—ἐπιστολὴν περὶ ἁλώσεως τῆς Τραπεζοῦντος ἐκδοθεῖσαν ὑπὸ Boissonade, Anecdota Graeca, V. σ. 389-404, καὶ μετατυπωθεῖσαν ὑπὸ Migne, Patrol. τ. 161, σ. 723—καὶ ἐπιστολὴν πρὸς τὸν ἡγεμόνα Ναυπλίου Δημήτριον κατὰ τῆς Φλωρεντινῆς Συνόδου, ἣν ἀνέκδοτον οὖσαν ἐκοινοποίησα ἐν συνεδριάσει τοῦ Ἑλλην. Φιλολογικοῦ Συλλόγου, κατά τι χειρόγραφον, οὗτινος ἡ περιγραφὴ θέλει δημοσιευθῆ ἄλλοτε. Εὕρηται δ' αὕτη καὶ ἐν χειρογράφῳ τῆς ἐν Μόσχᾳ Βιβλιοθήκης, περὶ οὗ ὅρα Δημητρακοπούλου Ὀρθοδ. Ἑλλ. σ. 110. Ἐγίνωσκον δὲ τὴν ἐπιστολὴν ταύτην ὁ Ἀλλάτιος (De concensu, σ. 883), ὁ Δοσίθεος (Δωδεκαβ. σ, 760 § 9) καὶ Νικηφόρος ὁ Θεοτόκης (Ἀπόκρ. περὶ τῆς τῶν Κατολίκων δυναστείας σ. 33). Πρβλ. περὶ Ἀμηρούτζη Hodii, de graecis illustr. σ. 277.—Γ. Ζαβίρα, Ν. Ἑλλ., σ. 88. — Κ. Σάθα, Νεοελλ. Φιλολογ. σ. 62. — Δωροθέου, Βιβλίον Χρονικόν, ἐκδ. 1784, σ. 422.—Turcograecia, σ. 123 κ. ἑ.

σης τοίνυν εὐθύνουσαν χεῖρα τούτοις ὁρέξαι· σοῦ γὰρ κρίνοντος, αὐτῆς τῆς σοφίας ἀκούειν δόξομεν.

2.

Ὁ φιλόσοφος τῷ Μηδείας.

Ἄσμενος ἐδεξάμην τὸ βιβλίον ὃ κατὰ Ἰουδαίων καὶ περὶ προνοίας σοι γέγραπται, ἐκείνους τε ὅπως ἐλέγχεις περὶ πλείστου εἰδέναι ποιούμενος καὶ ὅ,τι σοι περὶ προνοίας δοκεῖ, καὶ ἅμα βεβαιότερόν τι περὶ τῆς ἐπὶ λόγοις δόξης ἐθέλων λαβεῖν. Ἐπεὶ δὲ ἀνέγνων καὶ τὸν νοῦν κατέμαθον τῶν γεγραμμένων, ἥσθην τε καὶ ἐθαύμασα τό τε ἀναγκαῖον τῶν ἀποδείξεων καὶ τὴν μετὰ σαφοῦς περιβολὴν καὶ τὸ μετὰ χάριτος τῆς λέξεως ἀφελές· οὐ γὰρ ἐδόκουν ἐν λόγοις ἔτι τοιόνδε σώζεσθαι λείψανον τῆς πρὶν εὐδαιμονίας, ὥστε καὶ τὴν δόξαν ἣν εἶχον, εἰρήσεται δὲ πρὸς σὲ τἀληθές, ἐπὶ τὸ πολλαπλάσιον αὔξησα, καί τοι καὶ πρὶν ὑπῆρχε οὐ φαύλη τις, ἀλλ' οὐκ ἀξία ἧς νῦν συνῆκα δυνάμεως. Χαῖρε τοίνυν, ὦ θαυμάσιε, καὶ μὴ λόγοις τοιάνδε παιδιὰν ἐν γήρει τίκτων, τὰ δέ γε περὶ προνοίας σοι εἰρημένα δεῖται ἔτι οὐκ ὀλίγου λόγου. Εἰ μὲν γὰρ ἅπαντα ὑπὸ τῆς προνοίας γίνεται τὰ τῆδε καὶ οὐκ ἐνδέχεται ἄλλως ἔχειν, δῆλον ὅτι μάταιον τὸ φυλάττεσθαι· οὐ γὰρ ἔσται τι πλέον ἐντεῦθεν οὐδέν, ἴσως δὲ καὶ ἀσεβὲς νομίζειν οἷόν τε εἶναι νομίζειν τὴν θείαν ψῆφον διαφυγεῖν· εἰ δέ τι καὶ ἐνδεχομένως πρόεισιν ἀπὸ τῆς φύσεως, οὐκ ἄδικος ἴσως πειρᾶσθαι σώζειν αὐτὸν ἀπὸ τοῦ τοιούτου, εἰ λυμαίνεται τὴν ἡμετέραν ζωήν, καθάπερ εἴτις, δράκοντος ἐπιόντος, φεύγει, ἤ, ἐμπρησμοῦ συμβάντος, ἀποχωρεῖ. Δοκεῖ γὰρ εἴτι πρόεισιν ἐνδεχομένως, μὴ ἂν εἶναι τοῦτο ἀπὸ τῆς πρώτης ἀρχῆς· διότι διχῶς ἀνάγκη τὸ τοιοῦτον συμβαίνειν, ἢ τῆς αἰτίας ἀσθενείᾳ ἢ τῷ εἶναι τὸ κωλύον ἔξωθεν, ὧν οὐδέτερον χώραν ὁπωσοῦν ἔχει ἐπὶ τῆς πάντων ἀρχῆς. Εἰ δὲ τοῦτο ἀληθές, οὐκ ἔτι ἀσεβὲς ἴσως εἴτις τὰ ὑπὸ τῆς φύσεως μὲν γινόμενα, λυμαινόμενα δὲ ἄλλως τὴν ἡμετέραν ζωήν, φυλάττεσθαι ἐπιχειρεῖ, οἷον χειμῶνας ἐξαισίους ἢ πνεύματα ἢ σκηπτὲς ἢ τοιαῦτα ἕτερα, οἷον καὶ ἡ τοῦ ἀέρος δοκεῖ τυγχάνειν φθορά, καὶ γὰρ τοῦτο γίνεται ἐνίοτε ὑπὸ τῆς φύσεως. Τοὐναντίον μὲν οὖν δόξειεν ἂν καὶ πειράζοντος εἶναι εἴτις, τοιοῦδέ τινος συμβεβηκότος, μὴ ἐθέλοι τὰ ἐπ' αὐτῷ ποιεῖν, ὥσπερ ἂν εἴτις, κύματος ἐπιόντος, αὐτὸς μὲν ἐνὸν μὴ ἀναχωρεῖ μηδὲ ἀποφεύγει, τὸν δὲ Θεὸν μόνον αὐτὸν ἀξιοῖ σώζειν· τοῦτο γὰρ οὐδὲν διαφέρει τοῦ εἰς προὔπτον ἑαυτὸν κίνδυνον ἐμβαλεῖν, εἶτα τοῦ Θεοῦ δεῖσθαι σωθῆναι, ὃ σαφῶς ἐκπειράζοντός ἐστι τὸν Θεόν. Δοκεῖ τοίνυν μοι ἀναγκαῖον εἶναι ἐκεῖνο προσαποδεῖξαι, ὅτι πάντα τὰ τῆδε γινόμενα ἁπλῶς ὑπ' αὐτῆς τῆς προνοίας, εἰ μέλλοι τὸ συμπέρασμα, ἐξ ἀνάγκης συμβαίνειν· ἀλλὰ τοῦτο χαλεπὸν ἴσως ἀποδειχθῆναι. Εἶτι οὖν περὶ τούτου σοι πραγματευθήσεται ἡδέως ὄψομαι· βούλομαι γὰρ μαθεῖν ὅπῃ τοῦτο δυνατόν.

3.

Ὁ φιλόσοφος τῷ Κριτοβούλῳ[1].

Τὸ τοῦ Μηδείας βιβλίον μόλις σχολῆς λαβόμενοι διήλθομεν, καὶ τὰ μὲν ἄλλα ἔδοξεν ἡμῖν πολοῦ ἄξιον εἶναι καί, εἴ γε ἐνῆν, στεφανώσαντες ἂν τὸ βιβλίον ἀνεπέμψαμεν ἂν τῷ πατρί· τοῖς δὲ περὶ προνοίας λόγοις ἔνεστί τις ἀμφιβολία, περὶ ἧς καὶ ἐν τῇ ἐπιστολῇ πρὸς αὐτὸν διαλαμβάνομεν. Πέμπομεν οὖν σοι καὶ τὸ βιβλίον καὶ τὴν ἐπιστολήν, τὸ μὲν ὅπως ἀποδώσῃς, τὴν δὲ ἐπιστολήν, εἴ τι μὴ καλῶς ἔχοι, διορθώσας αὐτὸς ἐπιδώσῃς.

4.

Ὁ Μηδείας φιλοσόφῳ τῷ Ἀμοιρούτζῃ.

Ὁ ταῖς ἀσυγκρίτοις ὑπεροχαῖς τὰ ὑπὸ τὴν αἴσθησιν πάντα φωταυγῆ κάτω τιθεὶς ἥλιος, ἔσθ' ὅτε καὶ ζοφεροῖς ἐπιλάμπων, περιουσίᾳ λαμπρότητος λαμπρὰ καὶ αὐτὰ δείκνυσι· καὶ αὐτὸς δέ, λαμπρότατε, τῷ φωτὶ τῆς σοφίας πάντας ὑπερλάμπων τοῖς ἡμετέροις λόγοις ἡέρα ἐνημμένοις, ποιητικῶς εἰπεῖν, ἐς δεῦρο φῶς ἐνῆκας, ὥστε καὶ εἰς ὄψιν ἔρχεσθαι τοῖς βουλομένοις θαρρῆσαι, τὴν δὲ πρὶν δειλίαν ἀποθεμένοις τῇ τῆς σῆς σοφίας ἐπικρίσει. Τοῦτο μέν σου τῶν καλῶν ἕν, τὸ καλῶς λέγειν ἀεί· καὶ ἕτερον δὲ ἡμῖν ἐχαρίσω τὸ εὖ πράττειν εὐξάμενος, πάλαι τοῦτο ἀποβεβληκόσιν, ὥστε καὶ τὸν τοῦ μύθου Ἀμφιγυήν[2] ὑπερβαλέσθαι, μή ὅτι γε τῇ ἐπ' ἀμφοῖν ταῖν ἰγνύαιν ἐπικλίσει, ἀλλ', ὅ καὶ χεῖρον, σφοδρᾷ καταπτώσει ἔνθεν μὲν τῇ τῆς πρὶν εὐτυχοῦς ἐλευθερίας μεταβολῇ, ἑτέρωθεν δὲ τῇ δυστυχεῖ τῶν τῆς Ἐκκλησίας προστατῶν παρατροπῇ. Πῶς δ' ἂν εὖ πράξαιμεν καὶ πότε, τοῦ ταῦτ' ἀνακαλέσθαι σχεδὸν ὄντος

1. Περὶ Κριτοβούλου ἀνάγνωθι τὴν ἀξιοσημείωτον πραγματείαν τοῦ Ubicini, Chronique du règne de Mahomet II par Critobulo d'Imbros. (Ann. de l'Assoc. p. l'encourag. d. études grecques en France. Paris, 1874, σ. 49–74.

2. Ἐν τῷ κώδ. ἀμφὶ γυίην. Ἐννοεῖται ὁ Ἥφαιστος. Ἴδε Ὀρφέως fr. 23.

ἀπεγνωσμένου; Ἀλλὰ σὺ μέν, ἄριστε, τῇ τοῦ ἤθους σου χρηστότητι τὰ βελτίω ἡμῖν καὶ ἠὔξω καὶ ἐδωρήσω, τῷ Θεῷ δὲ μελήσει τούτων, εἰ καὶ ἡμῖν (ὡς εἰκός) ἐκείνου μελήσει. Ἐνδεῖν μέντοι γε τοῖς περὶ προνοίας ἡμῖν εἰρημένοις λόγου τινός, διὰ τὴν ἡμετέραν ἐν λόγοις ἀσθένειαν, οὐδὲν ἀπεικός· εἰ δὲ τοῖς ὑπὲρ λίαν λογίοις οἱ τῆς προνοίας λόγοι πεφύκασιν ἄρρητοι, τί ἐροῦμεν ἡμεῖς οἱ μὴ οὕτως ἔχοντες τοῖς αὐτοὺς ἐπαγγέλλουσιν; Ὡς δ' ἐνῆν ἡμῖν εἴρηται ἐν οἷς τέσσαρας τρόπους τῆς προνοίας εἶναι ἐλέγομεν, ὧν εἷς ἐστι καὶ ὕστατος ὁ κατὰ ἐγκατάλειψιν γινόμενος· πειθόμεθα γὰρ τῷ ἐκ Δαμασκοῦ θεορρήμονι «καὶ τὰ κατ' ἐγκατάλειψιν τοῦ Θεοῦ τελούμενα ὑπὸ τὸν λόγον τῆς προνοίας εἶναι» φάσκοντι, ὃν οὐκ ἄν τις αἰτιάσαιτο τὴν πρώτην ἀρχὴν φρονοῦντα τὴν ἀπὸ τῆς ἐγκαταλείψεως κακῶν εἶναι αἰτίαν[1]. Εἰ γάρ τις ὑποδιαιρεῖη τὸν τρόπον τοῦτον ἐπ' ὠφελείᾳ γίνεσθαι, ἢ τοῦ πεπονθότος τι τῶν ἀνηκέστων ἐρεῖ, ἢ ἑτέρων ἐξ αὐτοῦ σωφρονιζομένων, προσθείη δ' ἄν τις καὶ ἐπιδιαιρέσιν τό, ἢ κατὰ τὸν παρόντα βίον ἔσται ἡ ὠφέλεια ἢ κατὰ τὸν μέλλοντα ἔσται, -ἃ τίς ἂν φαίη μὴ τῆς προνοίας εἶναι; Αἱ δὲ ἱστορίαι καὶ ἐν ἀμφοῖν ταῖν Διαθήκαιν πολλοὺς παριστῶσι πυρός τε καὶ θηρῶν καὶ βυθοῦ καὶ παντοίων θανασίμων ἀνωτέρους ὀφθέντας τῷ μὴ ἐγκαταλειφθῆναι, ἔχεσθαι δὲ μᾶλλον τοῦ Θεοῦ. Τὴν δὲ πρόνοιαν οὐχ, ὡς οἱ πολύθεοι τὴν εἱμαρμένην, ὁ τῆς εὐσεβείας πρεσβεύει λόγος ἐφ' ᾧ μὴ ἔχειν τινὰ τὸ πεπρωμένον διαφυγεῖν, ἀλλ' ὡς θείαν διοίκησιν οἰκονομοῦσαν πάντα πρὸς τὸ συμφέρον, κἂν ὁποῖον ἄρα καὶ ᾖ, καὶ πάντα μικρά τε καὶ μείζω κυβερνῶσαν καὶ διακοσμοῦσαν κατὰ τὰ θεῖα λόγια, ᾗ προσάπτειν ἀσθένειαν ἢ ἑτέρωθεν κωλύειν τινὰ οὐ πρὸς εὐσεβοῦς ἐστι διανοίας· ἐπ' αὐτῇ γάρ ἐστι καὶ τὸ γενέσθαι καὶ τὸ μὴ καὶ τὸ ὅπως ἑκάτερον, τὸ δὲ ἐνδεχόμενον, ξένον τῆς θείας προνοίας τιθέμεθα· ἀνθρώπινον γὰρ καὶ τῶν συμβαινόντων τῇ ἀνθρωπίνῃ διαίτῃ· ἐνδέχεται γάρ με τῇ ὑστεραίᾳ εἰς ἀγορὰν ἀπαντῆσαι ἢ λούσασθαι ἢ μή, νόσου ἐπιγενομένης ἢ ἑτέρου κωλύματος. Τὰ γέ τοι καθολικῶς ὑπὸ τῆς θείας γινόμενα κυβερνήσεως οὐχ οὕτως ἔχει, ἀλλ' ἀναγκαίως ὑπὸ Θεοῦ γίνεται, κινοῦντος τάς τε φύσεις καὶ τὰ στοιχεῖα πρὸς τὰς ἡμετέρας διαθέσεις· καὶ ἄρχων γὰρ ὁ τυχών, εἰ μὴ δουλεύει πάθει, ἀναγκαίως καλεῖ τοὺς ἀξίους τούτου· καὶ ἀναγκαίως δωρεῖται, οἷς δωρεῖται, οὐκ ἀπὸ τοῦ ἐνδεχομένου ἀλλ' ἀπὸ τοῦ ἰδίου ἀξιώματος καὶ τῆς ἐξ αὐτοῦ ἰσχύος ἔχων τὴν ἐπ' ἀμφότερα τροπήν. Ἡμεῖς δὲ καταχρώμενοι τῇ λέξει φαμὲν· ἐνδέχεται χειμῶνα γενέσθαι ἢ αὐχμὸν ἢ λοιμὸν ἢ τὸ τοιοῦτον· τῆς γὰρ πρώτης αἰτίας ἤρτηται τὰ τοιαῦτα, δωρουμένης τῇ τε φύσει καὶ τοῖς στοιχείοις τήν τε κίνησιν καὶ τὸ τὰ τοιαῦτα ἐνεργεῖν. Τοὺς δὲ λόγους τῶν ἐκ τῶν ἐνεργειῶν τούτων ἀποτελεσμάτων, εἴτε σκυθρωπὰ εἴεν εἴτε χαρίεντα, ἀρρήτους ὁ τῆς πίστεως εἴωθε καλεῖν λόγος· καὶ γάρ εἰσι τοιοῦτοι, ὡς ὑπὸ τῆς ἀκαταλήπτου σοφίας τελούμενοι, ὑπερβαινούσης τὴν ἀνθρωπίνην ἀπείρῳ τῷ μέσῳ· τούτους γὰρ οἶδε μόνος ὁ τῆς φύσεως καὶ τῶν στοιχείων δημιουργός, ὃς ἐνῆκε καὶ τῇ φύσει τοῦ ἀλόγου ζώου αἴσθησιν φυλάττεσθαι τοὺς προφανεῖς κινδύνους, καὶ ὡς τὸ ἑνὸν φυλάττεται. Ἀλλ' εἴπερ ἦν αὐτάρκης ἡ ἀπὸ τῆς αἰσθήσεως τούτου φυλακή, οὐκ ἄν ποτε κινδύνῳ περιέπιπτεν, ἀλλ' ἔστιν ὅτε καὶ ἀπόλλυται κινδύνῳ· δῶρον γάρ ἐστιν αὐτοῦ ἡ ἐπὶ τοῦτο αἴσθησις, ἀλλὰ καλῶς χρῆσθαι τῷ δώρῳ χρή. Τὸ γὰρ περιγενέσθαι τοῦ κινδύνου ἢ μὴ οὐκ ἔστιν ἐπ' αὐτῷ, ἀλλὰ καὶ ἑτέρας δεῖται δυνάμεως, τῆς τοῦ Θεοῦ πάντως (κατὰ τὸν εὐσεβῆ λόγον), ὃς ἄπειρος ὢν ἀπείρους ἔχει καὶ τὰς ἐνεργείας, καὶ οὐ μόνον τὰ ὑψηλὰ ἀλλὰ καὶ τὰ ταπεινὰ ἐφορᾷ, κατὰ τὸν Προφήτην[1], καὶ οὐδὲν τῶν γινομένων ἔξω τῆς ἑαυτοῦ προνοίας ἐᾷ. Τό γε μὴν ἡγεῖσθαί τινα αὐτάρκως ἔχειν τὴν, ἀφ' ἑαυτοῦ φυλακήν, ῥύσεσθαι αὐτὸν τοῦ κινδύνου καὶ ἐπ' αὐτὴν πεποιθέναι καὶ τοιούτῳ πράττειν τι σκοπῷ, πλάνη σαφής ἐστι· πῶς γὰρ οὔ, πολλῶν κεκινδυνευκότων μετ' αὐτῆς; πρὸς δὲ καὶ ἀθέτησις γίνεται τοῦ παντοδυνάμου τοῦ Θεοῦ, ὅπερ ἐστὶ καὶ ἄθεοῦ καὶ ἀσεβείας μεστόν· ὁ γὰρ μὴ τοῦτ' ἔχων, ἀλλ' οὐ λέγω τὸ βλάσφημον. Ἐπὶ τούτοις οὖν φαμεν, ὡς ἡ τῆς καθ' ἡμᾶς Ἐκκλησίας ἱερὰ διδασκαλία τὴν πολύθεον ἐκκλίνουσα πλάνην, μᾶλλον δὲ καὶ ἀναιροῦσα ταύτην, ἕνα Θεὸν δημιουργὸν καὶ προνοητὴν καὶ κυβερνήτην τοῦ παντὸς κηρύττει, ἵνα μὴ τῇ αὐτῇ πλάνῃ καθυπαχθεῖη διαφόρους ὑφιζῶσα δυνάμεις, αἰτίας τῶν γινομένων ἢ γενομένων, καὶ τοῦτ' οὐχ ὡς μηχάνημα ἀφ' ἑαυτῆς κατὰ ταύτης ἐπινενόηκεν, ἀλλ' ἀπὸ τοῦ τῆς

1. Τὰς περὶ προνοίας ἀρχὰς τοῦ ἐν ἁγίοις Ἰωάννου τοῦ Δαμασκηνοῦ ἴδε ἐν κεφ. μγ' τῆς Ἐκδ. ἀκριβοῦς τῆς Ὀρθοδ. πίστεως· Migne, Patrol. Gr. τ. 94, σ. 964 κ. ἑ. Πρβλ. καὶ τὰ κεφ. κβ', κγ' σ. 1192 κ. ἑ.

1. Ψαλμ. 112, 5. 137, 7.

πίστεως ἀρχηγοῦ μεμάθηκε, τοῦ ἀεὶ ἐργαζομένου καὶ τὰ ἐν λειμῶνι ἄνθη ἐπιχρωννύντος καὶ τὴν ἐν παγίδι τοῦ στρουθίου πτῆσιν ἐκδιδάντος· ᾧ συνῳδὰ μυσταγωγοῦσι καὶ οἱ αὐτῷ φοιτήσαντες καὶ ἡμῶν διδάσκαλοι· *οὔτε γὰρ φησι τοῦ τρέχοντος οὔτε τοῦ διώκοντος, ἀλλὰ τοῦ εὐδοκοῦντος Θεοῦ καὶ πάντα ἐκ Θεοῦ*· εἰπὼν δὲ πάντα συνέκλεισεν ἅπαντα καὶ οὐδὲν ἔξω κατελέλοιπε. Ταῦτα εἰ μὲν ἱκανῶς ἀποδέδεικται, σοὶ ἡ χάρις τῷ πρὸς τὰ τοιαῦτα σπουδάσματα ἡμᾶς κεκινηκότι, εἰ δ' ἔτι ἐνδεῶς ἴσως τῷ μὴ ἐπαίειν ἡμᾶς τὸ βάθος τοῦ προβαλλομένου, ὡς κελεύεις, σαφήνισον ἵνα σοι καὶ πλείους τὰς χάριτας ὁμολογήσωμεν.

ε'.

Ὁ Μηδείας Γερασίμῳ ἱερομονάχῳ.

Ἧκον, ὡς ἐπυθόμην, ἔς τε χεῖρας καὶ ὄψιν τῆς σῆς τιμιότητος τὰ πρὸς τὸν φιλόσοφόν μου γράμματα· ἡσθής τε δεῦρ' αὐτὰ καὶ τεθαύμακας· ἐγὼ δὲ ἥδειν σε πάλαι τοῖς ἐμοῖς χαίροντα πάντοτε, οὐχ ἥκιστα δὲ νῦν ἡσθήσεσθαι ἔμελλες καὶ θαυμάσειν, οὐ μᾶλλον τῆς ὕλης τῶν γραμμάτων ἢ τῆς πρὸς ἡμᾶς σου εὐνοίας ὀτρυνούσης πρὸς ἄμφω· ἥ τε γὰρ ὕλη ἀστεία καὶ ἡ ἔννοια σαφὴς καὶ οὐ πρόσφατος. Ὁ γε μὴν ἀπαιτοῦσί τινες, εἰ πάντα τὰ καθ' ἡμᾶς ὑπὸ τῆς θείας γίνεται προνοίας καὶ οὐκ ἔστιν ἃ καὶ ὑπὸ τῆς φύσεως ἐνδεχομένως ἢ τῶν στοιχείων ἀποδείξαι, πάλαι τε ἀπεδείξαμεν ἐν τοῖς διεξοδικωτέροις λόγοις ὅπως ἡ τοῦ Δημιουργοῦ πρόνοια ἐνεργεῖ πάντα· εἰ δέ τι καὶ ἡ φύσις ἢ τὰ στοιχεῖα δοκοῦσί τι ἐνεργεῖν κατὰ τὸ δοκοῦν τῇ θείᾳ κυβερνήσει ἐπιτελοῦσι, καὶ νῦν ἐπιτομώτερον τὰ αὐτὰ εἰρήκαμεν ἐν τοῖς πρὸς τὸν φιλόσοφον ἀπὸ τῆς ἱερᾶς διδασκαλίας ἐπιχειροῦντες. Εἰ δ' ἔστι τις ὁ τοῖς στοιχείοις καὶ τῇ φύσει τὴν κυβέρνησιν ἀνατιθεὶς τῶν καθ' ἡμᾶς, ἑλληνίζων ἴστω, οὗ μοι δοκῶν ἔχων ἀποδείξαι τοῦτο ἀπὸ τῆς ἱερᾶς διδασκαλίας, ἀπὸ δὲ τῆς τῶν πολυθέων καὶ μάλα, περὶ ἧς ἡμῖν λόγος οὐδείς, καταργηθείσης ὡς μωρᾶς ὑπὸ τῆς πανσόφου καὶ θείας. Εἰ δ' Ἀναστάσιος δοκεῖ τι λέγειν συνῳδὸν ἐκείνῃ δοκοῦν, ἀλλ' ὥς περ συναισθανόμενος σαφηνίζει φάσκων[1]· «μηδεὶς δὲ ἀκούσας ἡμῶν εἰρηκότων ἐξ ἀέρων γίνεσθαι πτῆσιν νομίσῃ, ὅτι χωρὶς Θεοῦ ταῦτα γίνεσθαι εἰρήκαμεν· ἠκούσαμεν γὰρ τοῦ εἰρηκότος[1], ὅτι *δύο στρουθία ἀσσαρίου πωλεῖται καὶ ἓν ἐξ αὐτῶν οὐ πεσεῖται ἐπὶ τὴν γῆν ἄνευ τοῦ Πατρός μου τοῦ ἐν οὐρανοῖς*· διὸ καὶ ἅπερ ὁ ἀὴρ καὶ ἡ κτίσις πᾶσα καὶ ἡ φύσις ἐνεργεῖ, νεύματι Θεοῦ ἐπιτελεῖ». Καὶ αὖθις· «μὴ θαυβηθῇ δέ τις, μηδέ τι βλάσφημον περὶ Θεοῦ ἐννοήσειε μαθὼν ἀκριβῶς, ὅτι ταῦτα πάντα καὶ τὰ τοιαῦτα οὐκ ἐκτὸς μὲν τῆς παντεπόπτου καὶ προνοητικῆς τοῦ Δημιουργοῦ διαπράττονται γνώσεως, οὐχ ἑτέρῳ δὲ τρόπῳ ἢ διὰ τῆς τῶν θεοκτίστων στοιχείων ἀρχαιοδότου καὶ θεοσδότου ἐκτάκτου κυβερνήσεως καὶ τάξεως καὶ φυσικῆς διοικήσεως. Πλὴν οὐχ ὁριστικῶς, οὐδὲ ἐριστικῶς, ἀλλὰ γνωμικῶς καὶ εἰκαστικῶς εἰρήκαμεν, δυσωποῦντες τοὺς γνωστικωτέρους συγγνωμονοῦντας ἡμῖν ἀναπληροῦν τὰ ἡμέτερα ἴσως ἐλλείμματα». Νοῦ τοίνυν βάρος ἔχοντός ἐστιν ἐκ τούτων συνιδεῖν τὴν ἐν πνεύματι σύνεσιν τοῦ μακαρίου τούτου· ἐφ' ᾧ τοῦτον μὲν θαυμάσαι τῆς ἐπὶ τὴν ἀλήθειαν καταφυγῆς, καταγνῶναι δὲ τῶν ἀπερισκέπτως, ἢ πῶς εἴποιμ' ἂν εὐφημότερον πάντα λεγόντων, εἴπερ ἐκεῖνος μὲν ὁ τῇ φύσει καὶ τοῖς στοιχείοις νέμει, οὐχ ὁριστικῶς ἀλλ' ἀπὸ γνώμης ἰδίας ὅσον εἰκάσαι παρέχειν ὁμολογεῖ, παραιτεῖται δὲ τοὺς γνωστικωτέρους τὰ ἐνδεῶς αὐτῷ εἰρημένα ἀναπληροῦν τρόπον τινὰ καὶ ὅσον εἴρηκε φθάσας διασαλεύων; Εἰ δὲ ἐριστικῶς αὐτὸ εἰς σύστασιν ὧν λέγουσι μεθοδεύουσιν, ἐπικουρίᾳ συκίνῃ κατὰ τὴν παροιμίαν τὰ αὐτῶν ἐρείδοντες, εἶεν δ' ἂν γνωστικώτερος ὁ λοιπὸς τῶν ἱερῶν διδασκάλων χορός, πάντα ἐκ Θεοῦ ἀποφαινόμενοι, οἷς ἀντιφάσκει πάντως ὁ τὸ οὐ ἀντιπαρατιθείς, καὶ πρὸ τούτων τὰ ἱερὰ λόγια, ἐξ ὧν καὶ Ἀναστάσιος ὁμολογεῖ μαθεῖν τ' ἀληθές, τὰ περὶ τῶν στρουθίων ἀναλαβών· ὢν καὶ αὐτός, συνετώτατε, θιασώτης ὢν οὐχ ἁμαρτήσῃ τοῦ προσήκοντος.

ϛ'.

Ὁ φιλόσοφος Ἀμοιρούτζης τῷ Μηδείας.

Τὰ γράμματα, ἅπερ ἡμῖν αὖθις περὶ προνοίας ἀπέστειλας, οὐ τὴν σὴν ἐδήλου μόνον ἣν ἔχεις διάθεσιν εἰς ἡμᾶς, ἀλλὰ καὶ τὴν συνισταμένην ἐπὶ τῇ προνοίᾳ, εἰ πάντα κατ' αὐτὴν γίνεται, ἀπορίαν ἱκανῶς ἔλυσε· καὶ χάρις σοι γένοιτο, πρὸς Θεοῦ τῆς τε εἰς ἡμᾶς χάριν φιλίας, ὑφ' ἧς πεπεισμένους τοιαῦτα περὶ ἡμᾶς ὑπείληφας καὶ τῶν καλῶν λόγων, οἷς πάντα

1. Πιθανόν ἐστιν ὅτι ἐννοεῖται ἐνταῦθα ὁ ἱερὸς Ἀναστάσιος ὁ Σιναΐτης.

Γ' Ματθ. 10, 29.

τῆς πρώτης ἀρχῆς ἐξηρτημένα δεικνύεις. Ὃ δὲ ἐκ τῶν πολλῶν λόγων ἐκείνων ἡγοῦμαί συμβαίνειν, τοῦτό ἐστιν· ὅτι πάντα μὲν ὑπόκειται τῇ θείᾳ προνοίᾳ καὶ οὐδὲν αὐτῆς ἀποπίπτει, ἀλλ' οὐκ ἀδύνατον ταύτης, τοιαύτης οὔσης τὴν φύσιν, αἰτίαν ἐν τοῖς φυσικοῖς εἶναι, οὐδ' ἀναιρεῖ τὴν πρόνοιαν ἡ ταύτης ὑπόθεσις· ἐπεὶ καὶ αὕτη κατ' ἐκείνην καὶ συνέστη τὴν ἀρχὴν καὶ ἐνεργεῖ διὰ παντός, ὥστε καὶ τὰ ταύτης ἔργα εἰκότως ὑπ' ἐκείνην τετάχθαι. Ταῦτα οὖν ἄριστα ἡ σὴ σοφία συνῆκε· σώζεται γὰρ οὕτω γε καὶ τὸ πάντα κατὰ πρόνοιαν καὶ εἶναι καὶ γίνεσθαι καὶ τὸ τὴν φύσιν, ἐν οἷς ἐστι, τὸ ἑαυτῆς ποιεῖν. Σημεῖον δέ, ὅτι τινὰ καὶ ἀποπίπτει τοῦ τέλους, οὗ ἕνεκα γίνεται, μάλιστα μὲν ἐν τοῖς ζώοις, ἐνίοτε δὲ καὶ ἐν τοῖς φυτοῖς· τοῦτο γὰρ οὐδαμῶς προσήκει τῇ πρώτῃ ἀρχῇ, ἐπεὶ μηδέποτε αὕτη ἀποτυγχάνει. Δηλοῖ δὲ οὐδὲν ἧττον καὶ τὰ κατὰ προαίρεσιν γινόμενα· καὶ γὰρ τούτων προαίρεσις μὲν αἰτία, ἀλλ' ὅμως ὁ θεῖος προορισμὸς ἐντεῦθεν οὐκ ἀναιρεῖται, οὐδ' ὅλως ἡ πρόνοια· ἐπεὶ τὸ εἶναί τινα καὶ ἐφ' ἡμῖν αὕτη διετάξατο, ὥστε καὶ τῶν οὕτω γινομένων ταύτην πως εἶναι αἰτίαν, καὶ χρῆται δὲ εἰς τὸ δέον ἐνίοτε τῇ κακίᾳ, οὐκ αὐτὴ μὲν ποιοῦσα, τάττουσα δὲ αὐτὴν ᾗ δεῖ γενομένων. Ταῦτά τε οὖν οὕτω συμβαίνοντα, ἐξ ὧν ἐπέστειλας, ὑπολαμβάνω, καὶ αὐτὸς οὕτω νομίζω· ὅτι δὲ ἡ φύσις αἰτία τῶν γινομένων ἐστί, καὶ ὁ μακάριος Μωϋσῆς δηλοῖ· εἶπε γάρ φησιν *ὁ Θεὸς ἐξαγαγέτω ἡ γῆ βοτάνην χόρτου σπεῖρον σπέρμα κατὰ γένος καὶ καθ' ὁμοιότητα, καὶ ξύλον κάρπιμον ποιοῦν καρπόν, οὗ τὸ σπέρμα αὐτοῦ ἐν αὐτῷ κατὰ γένος ἐπὶ τῆς γῆς*»[1]· καὶ ἐπάγει· «*καὶ ἐγένετο οὕτως*»· ἐξ ὧν ἐναργῶς δείκνυται, ὡς ἡ μὲν πρώτη τῶν ὄντων πρόοδος γέγονεν ἀπὸ τοῦ Θεοῦ, ἡ δὲ μετὰ ταῦτα αὐτῶν γένεσις ὑπὸ τῆς φύσεως ἑκάστοτε ἐπιτελεῖται. Ἔνια δὲ κἀνταῦθα ὑπὸ τῆς προνοίας γίνεται, καθ' αὑτὸ μεταβαλλούσης τὴν φύσιν εἰς ὃ βούλεται, οὐ μὴν ἅπαντα· ἀναιρεῖται γὰρ αὐτίκα ἡ φύσις, ὅπερ οὐ δεῖ τιθέναι· τὰ μὲν γὰρ φυσικὰ ὡς ἐπὶ τὸ πλεῖστον τὸν εἰωθότα γίνεται τρόπον, ἔνια δὲ καὶ ἀεί, τὰ δὲ κατὰ πρόνοιαν ἰδίως ἄλλοτε ἄλλως καθὼς αὕτη βούλεται. Τὰ μὲν οὖν περὶ προνοίας ἐκ τῶν λόγων συμβαίνοντα, ταῦτά ἐστιν, εἴτι καὶ διαιτᾷν δεῖ· ἃ δὲ τούτων ὑποτεθέντων περὶ τοῦ φυλάττεσθαι συμβαίνει δεῖν εἶναι νομίζειν καὶ τί ποιητέον, κινδύνου πινὸς ἐπιόντος, οὐδὲν ἔτι προσδιορίζειν χρή· δῆλον γάρ, ὡς ἡ σὴ σοφία διέκρινεν, ὅτι τὸ μὲν πειρᾶσθαι τοὺς ἐπιόντας ἀποφεύγειν (τό γε ἐφ' ἡμῖν ἧκον) κινδύνους, οὐκ ἀθέμιτον. Τὸ μέν τοι νομίζειν ἱκανὸν εἶναι τοῦτο εἰς σωτηρίαν καὶ μὴ τῇ θείᾳ προνοίᾳ θαρρεῖν, ἀνόσιον· δεῖ γὰρ τὰ μὲν ἐφ' ἡμῖν αὐτοῖς πανταχοῦ ποιεῖν, ἐκ τοῦ Θεοῦ δὲ τὴν σωτηρίαν ἐλπίζειν. Ταῦτα ἄριστα καὶ ταῖς κοιναῖς ἐννοίαις συμβαίνοντα ἡ σὴ σοφία διώρισε, καὶ οὐκέτι ἀμφιβολίας καταλείπεται τόπος. Ἐρρωμένον ἡμῖν ὁ Θεός σε διαφυλάττοι, σεβασμιώτατε δέσποτα.

ζ'.

Ὁ Μηδείας φιλοσόφῳ τῷ Ἀμοιρούτζῃ.

Οὐκ ἠγνόεις μέν, ὦ θαυμάσιε, τοὺς ὑγιεῖς περὶ προνοίας λόγους, πάλαι τούτους ἀναλεξάμενος ἐκ τῶν περὶ αὐτῆς πεφιλοσοφηκότων φιλοσόφων ἀνδρῶν, προσθείην δ' ἂν καὶ ἱερῶν, ἐπεὶ τινὲς τῶν μὴ τοῦ καθ' ἡμᾶς τῶν μακαρίων τοῦ ἱεροῦ καταλόγου καὶ ἀξύμβατά τινα περὶ προνοίας ἐδόξασαν· γνῶναι δὲ βουληθεὶς ὅπως ἔχομεν καὶ ἡμεῖς δόξης περὶ αὐτῆς, τὴν πεῖραν ἡμῶν ταύτην ὑφῆκας οὐχ ὡς τι κερδανῶν πλέον, διδάξων δὲ μᾶλλον καὶ ἀναπληρώσων εἴτι τοῦ περὶ αὐτῆς ἡμῖν ἐνδεῖ λόγου. Ἀλλ' ἡμεῖς, ὡς ἐνῆν, τὸν λόγον ἀποδεδώκαμεν, καὶ αὐτὸς ἀπεδέξω καὶ συνῴδειν ἀλλήλους ἡμᾶς ἐν τῇ περὶ αὐτῆς ἀπεφήνω δόξῃ, πάντα γὰρ λέγομεν ὑποκεῖσθαι τῇ θείᾳ προνοίᾳ καὶ οὐδὲν αὐτῆς ὑποπίπτειν· τὴν δὲ φύσιν ἐν οἷς ἐστι τὸ αὐτῆς δρᾷν, ὑπουργικῶς δρᾷν σχούσης τὸ ἐνδόσιμον παρὰ Θεοῦ, ὃ δηλοῖ τὸ *εἶπεν ὁ Θεὸς ἐξαγαγέτω ἡ γῆ βοτάνην χόρτου*[1], *καὶ ἐγένετο οὕτως*· εἰ γὰρ καὶ ἡ μετὰ ταῦτα γένεσις ὑπὸ τῆς φύσεως ἑκάστοτε ἀποτελεῖται, ἀλλ' ἐπείπερ ἐσθ' ὅτε καὶ ἔνια γίνεται ὑπὸ τῆς θείας προνοίας, καθ' αὑτὸ μεταβαλλούσης τὴν φύσιν εἰς ὃ βούλεται, εὔδηλον ὅτι τὸ κυρίως δρᾷν πρὸς τῆς θείας ἐστὶ προνοίας, ἧς ἐπιταττούσης μὲν γίνεται τὰ γινόμενα παρὰ τῆς φύσεως, μεταβαλλούσης δ' ὅτε βούλεται ταύτην· ὃ πρὸ τούτου δρᾷν εἶχεν, οὐ γίνεται· ὥστ' ἀνάγκη δεῖσθαι ταύτην θείας ἐπιταγῆς τὸ ἑαυτῆς κατὰ συνέχειαν δρᾷν, ὑπουργικῶς πάντως· εἰ δὲ καὶ ἀεὶ δρᾷ, ἀλλ' ἐπείπερ ὑπόκειται τῷ ὑπουργεῖν, ἀεὶ πέφυκεν ὑπουργική. Ταῦτα τοίνυν ἀπὸ τῶν πρὸς ἐμέ σου γραμμάτων συνελών, ἄριστε, ἠγάσθην τε ὅσον οὐκ ἔστιν εἰπεῖν καὶ ἔτι μᾶλλον ἐθέμην τούτῳ τῷ δόγματι. Ἀλλ' οὐ

1. Γενέσεως 1, 12.

1. Γενέσεως 1, 11.

λέληθας, ὦ σοφώτατε, ἀντιφάσεως γραφόμενος ἡμᾶς δεῖν μὲν φυλάττεσθαι τοὺς κινδύνους ἐν τοῖς πρὸς σὲ γράμμασιν εἰρησότα, ὡς θέλοντος τοῦτο καὶ τοῦ Θεοῦ, ἀνόσιον δ' αὖ τοῦτο τιθεμένους ἐν τοῖς περὶ προνοίας λόγοις· οὐ γὰρ περὶ τῶν αὐτῶν τἀναντία ἀπεφηνάμεθα, περὶ δὲ ἄλλου καὶ ἄλλου κινδύνων εἴδους ἔφημεν ἑκάτερα. Ὅθεν καὶ διοριστέον μοι δοκεῖ νῦν, ἵνα καὶ τῆς αἰτίας ἑαυτοὺς ἀπολύσωμεν· ἐν μὲν γὰρ τοῖς λόγοις ἐκείνοις καθαπτόμενοι τῶν τιθεμένων τὸ φυλάττεσθαι τὸν ἐκ τοῦ λοιμοῦ θάνατον, ἔνθα ὁ λοιμώδης ἀὴρ ἐπιπολάζει, ἀπεδείξαμεν ὡς, τοῦ λοιμοῦ θεομηνίᾳ γινομένου καὶ τοῦ ἀέρος κατὰ συγχώρησιν Θεοῦ τοῦτο πεπονθότος καὶ δρῶντος ἐν οἷς τὸν θάνατον δρᾷ, οὐ τὸν τύπον χρὴ φέρειν· οὐ γὰρ αἴτιος οὗτος τοῦ κακοῦ, ὥς περ οὐδὲ ὁ Θεός, ἀλλ' ἑαυτὸν ἕκαστον διορθοῦν καὶ ἐξευμενίζειν αὐτόν, ὅτι «*ὁ κατοικῶν ἐν βοηθείᾳ τοῦ Ὑψίστου ἐν σκέπῃ τοῦ Θεοῦ τοῦ οὐρανοῦ αὐλισθήσεται*»[1] καὶ οὐχ ἐρήμοις τόποις· οὐδεὶς γὰρ ἔρημος Θεοῦ, τοῦ μὴ μόνον διὰ τοῦ ἐρθαρμένου ἀέρος τὴν τῶν πρωτοτόκων θνῆσιν τοῖς Αἰγυπτίοις ἐπαγαγόντος[2], ἀλλὰ καὶ τὴν ἐπ' αὐτοὺς πεμφθεῖσαν ἀκρίδα[3], τήν τε ἐρεσίβην (sic) καὶ τὸν βροῦχον ἑαυτοῦ δύναμιν μεγάλην καλέσαντος[4]· ᾧ συνῴδουσιν μὲν καὶ ἄλλοι τῶν μακαρίων ἀνδρῶν καὶ τὴν θείαν σοφίαν εὖ ἠσκηκότων, ὡς ἄριστοι μαθηταὶ καλῷ διδασκάλῳ, οὐχ ἥκιστα δὲ καὶ ὁ σοφὸς Συνέσιος φάσκων[5]· «*ὅτε οὖν δεῖται κολαστῶν ὁ Θεός, χρῆται νῦν μὲν ἀγελάρχαις ἀκρίδων δαίμοσι, νῦν δὲ ὧν ἔργα λοιμοί*» καὶ προϊὼν φησι· «*καὶ γὰρ τὴν ἀκρίδα τὴν λιμηναμένην ἡμῶν τοὺς καρπούς . . . . καταπορτιστὴς ἄνεμος ἄρας ὦσεν εἰς μέσον τὸ πέλαγος*» καὶ ἔτι· «*ταύτῃ μὲν οὖν τῇ πληγῇ τὸν νότον ἀντέταξεν ὁ Θεός*». Ὥστε ὁ Θεὸς διὰ τῆς φύσεως καὶ τῶν στοιχείων ὃ βούλεται δρᾷ, ὑπουργούντων τῇ αὐτοῦ κελεύσει καὶ βουλήσει. Τούτου οὖν δρῶντος διὰ τούτων, ὡς δι' ὀργάνων κολάζοντος τοὺς ἀξίους τούτου, οὐ δεῖ φεύγειν αὐτοὺς τοπικῶς φυλαττομένους τὴν τοῦ Θεοῦ δίκην, μεμνημένους τοῦ λέγοντος πρὸς τὸν Θεόν· «*ποῦ πορευθῶ ἀπὸ τοῦ πνεύματός σου, καὶ ἀπὸ τοῦ προσώπου σου ποῦ φύγω*»[1]; Καὶ Ἀναστάσιος δὲ ὁ θεῖος «*δύο, φησίν, εἰσὶ τρόποι καθ' ὃν τὰ θανατικὰ γίνεται εἰς κατὰ ἀπειλὴν Θεοῦ καὶ παιδείαν τῶν ἀνθρώπων, δεύτερος δὲ ἀπὸ φθοροποιῶν ἀέρων. Ἀλλ' ὁ μὲν κατὰ ἀπειλὴν Θεοῦ ἀκατάληπτος, ἡ δὲ ἐξ ἀέρων κατὰ συγχώρησιν Θεοῦ γινομένη θνῆσις καταλαμβάνεται, ὥστε καὶ ὁ φθοροποιὸς ἀὴρ κατὰ συγχώρησιν Θεοῦ δρᾷ ἐν οἷς συγχωρεῖται· οὐ γὰρ ἅπαντας θανατοῖ οἷς ἂν ὁμιλήσῃ, ἔνα δὲ τῶν τῆς προνοίας τρόπων καὶ τὸ κατὰ συγχώρησιν ἡ θεία διδασκαλία τῶν μακαρίων παραδίδωσι*». Τὸ φεύγειν τοίνυν τοπικῶς καὶ οὕτω δεῖν φυλάττεσθαι τὸν κίνδυνον νομίζειν καὶ μὴ ἐπὶ τὸν Θεὸν καταφεύγειν πνευματικῶς, ἀντιπράττοντός ἐστι τῷ θείῳ βουλήματι καὶ μὴ συγχωροῦντος αὐτῷ τὸ παντοδύναμον, καὶ διὰ τοῦτο ἀνόσιον. Τοῖς λόγοις μὲν οὖν τούτοις ἐν τοῖς λόγοις ἐκείνοις ἀνόσιον ἀπεφηνάμεθα τὸ φυλάττεσθαι τὸν κίνδυνον ἐν οἷς καθολικῶς παρὰ Θεοῦ τοιοῦτόν τι γίνεται, ἐπ' ἐκείνοις τε χωρείτω ταῖς πλείοσιν ἐντευξόμενος ἀποδείξεσιν ὁ βουλόμενος· ὃ δὲ εἰρήκαμεν ἐν τοῖς πρὸς τὴν σὴν μεγαλόνοιαν γράμμασιν, ὅτι δεῖ πάντα ἄνθρωπον αἴσθησιν εἰληφότα παρὰ Θεοῦ τὸν προφανῆ κίνδυνον ἐπιγινώσκειν καὶ μὴ κατὰ κρημνῶν ἑαυτὸν ὠθεῖν, μηδ' ἐπὶ πυρᾶς κυβιστᾷν, μηδὲ κατὰ ξιφῶν ὀρχεῖσθαι, ἢ ξυναντήσαντα θηρίῳ μὴ ὑποχωρεῖν ἀλλὰ καὶ ἐπεμβαίνειν, ἄλλου κινδύνων εἴδους ὄντος μερικῶν καὶ οὐ κατὰ θεομηνίαν γινομένων (ἕκαστον γὰρ τῶν εἰρημένων δι' ἑτέραν τινὰ χρείαν γίνεται) οὐκ ἀντιφάσκει, εἰ φυλάττεσθαι δεῖν τοὺς τοιούτους κινδύνους, ἀπεφηνάμεθα· τούτου γὰρ χάριν τὴν αἴσθησιν αὐτῶν ὁ Θεὸς τοῖς ἀνθρώποις ἐδωρήσατο· εἰ δέ τι καὶ τούτων κατὰ θεομηνίαν γένηται, ὁ ταύτης ὑπεύθυνος οὐ φεύξεται τὸν κίνδυνον, κἂν ὅτι μάλιστα φυλάττηται. Ταῦτα ἐκ τοῦ ἱεροῦ διδασκαλείου τῶν θεοσόφων ἀνδρῶν μεμαθηκότες καὶ πρότερον συνεγραψάμεθα καὶ νῦν συνοπτικώτερον ἐξεθέμεθα, καὶ χάριτας ὁμολογοῦμέν σοι τοῖς τοιούτοις ἡμᾶς κινοῦντι σπουδάσμασιν.

1. Ψαλμ. 90, 1.
2. Ἐξόδου 12, 39. Ψαλμ. 104, 36.
3. Ἐξόδου 10, 4 κ. ἑ.
4. Ἰωὴλ 2, 25. Προβλ. 1, 4. Ψαλμ. 104, 34.
5. Τὰ τοῦ Συνεσίου τρία ἀποσπάσματα πηγάζουσιν ἐκ τῆς κατὰ Ἀνδρονίκου ἐπιστολῆς. Ἴδε Migne, Patrol. Gr. τ. 66, σ. 1384-1385.

1. Ψαλμ. 138, 6.

8.

Ὁ Ἀμοιρούτζης τῷ Μηδείας.

Λίδεσιμώτατε πάτερ, οὔτε ἐγώ τι τοιοῦτον τοῖς σοῖς ἔπεσθαι λόγοις, οἷον αὐτὸς ἔφης, ὑπέλαβον, οὔτ' ἴσως ἔνεστιν οὐδεμία αὐτοῖς ἀντίθεσις· οὐ γὰρ εἶχε λόγον ὑπολαβεῖν περὶ σοῦ, ὡς φεύγειν τε καὶ οὐ φεύγειν ἀπὸ τοῦ αὐτοῦ κινδύνου τῷ εἴδει ἀξιοῖς· ὁ δὲ διορισμὸς φανερώτατα καὶ εἴτις ἀπορία προσῆν ἔλυσεν. Ἀντιφάσει μὲν οὖν οὕτω γε οὐδαμῶς ὁ λόγος σοι περιπίπτει, δοκεῖ δὲ ὅμως τὸ ζητούμενον λαμβάνειν· τὸ γὰρ μὴ δεῖν ἐκεῖθεν φεύγειν ἔνθα λοιμὸς γέγονεν, ἐκ τοῦ πάντα ὑπὸ τῆς θείας γίνεσθαι προνοίας οἶμαι ἐδείκνυτο· φεύγειν γὰρ ἀπὸ τῶν οὕτω γινομένων, ἀνόσιον. Τοῦτο δὲ νῦν ἀναιρεῖται ὑπὸ τοῦ διορισμοῦ· εἰ γὰρ δεῖ φεύγειν ἀπό τινος κινδύνου, δῆλον ὅτι ἐκ τῆς θείας προνοίας οὕτως ἂν εἴη. Ἡ μείζων οὖν ἀναιρεῖται, ταύτης δὲ ἀναιρουμένης, ὁ τὴν ἐλάσσονα τιθέμενος τὸ ζητούμενον ἄντικρυς ἄξιοῖ, εἰ μὴ ἄρα ἄλλοθεν ἐδείκνυτο, ὡς ὑπὸ τῆς ἐπιστολῆς ἐδηλοῦτο. Εἰ μὲν οὖν κατὰ πρόνοιαν ὁ λοιμὸς ἅπας συμβαίνει ἢ μή, οὐ προὔργου ἐμοὶ σκοπεῖν· ὃ δὲ περὶ παντὸς ἐποιούμην ὑπὸ σοῦ κυρωθῆναι γέγονεν, ὡς ἄρα οὐ πάντα ὑπὸ τῆς θείας ἁπλῶς γίνεται προνοίας, ἀλλ' ἔνια καὶ δι' ἑτέρας αἰτίας· τοῦτο γὰρ καὶ αὐτὸς συγχωρεῖς οἷς φευκτέα τινὰ εἶναι νομίζεις τῶν γινομένων. Τοῦτο δὲ ὑπὸ τῆς σῆς ψήφου κεκυρωμένον δίχα πάσης ἀμφιβολίας κατέχω.

9.

Ὁ Μηδείας φιλοσόφῳ τῷ Ἀμοιρούτζῃ.

Οἶδ', οἶδα τὸν νοῦν ἔφησεν ὁ Κωμικός. Καὶ ποῦ τῶν ἐμῶν εἴρηται λόγων, ὦ σοφώτατε, τὸ ἀξύμβητον τοῦτο ῥῆμα, ὡς οὐ πάντα ὑπὸ τῆς θείας γίνεται προνοίας, ἀλλ' ἔνια καὶ δι' ἑτέρας αἰτίας ἀπρονοήτως; ἢ τί φήσεις καὶ τίνα ἂν εἶεν ἐκεῖνα μάτην ὑπὸ Θεοῦ γεγονότα ἢ αὐτομάτως; Οὐχ οὕτω μεμνήμεθα ἐφ' ᾧ τὰ τῶν ἀσεβῶν ἐρεῖν, ἀλλὰ πῦρ καὶ ὕδωρ καὶ σκόπελος καὶ εἴ τι τοιοῦτον πρὸς τὸ ἐν ὑποστάσει εἶναι· καὶ ἐπ' ὠφελίμοις δεδημιούργηνται χρείαις ἀνθρωπίναις, καὶ οὐ κατὰ θεομηνίαν· εἴτι δὲ πρόσεστιν αὐτοῖς βλαπτικόν, φευκτὸν τοῖς γε νοῦν ἔχουσιν, ὁ δὲ λοιμὸς ἀεὶ βλαπτικὸς καὶ οὐχ ὑπόστασις καὶ κατὰ θεομηνίαν γινόμενος καὶ καθολικώτερον, ἐκεῖνα δὲ ἐν μέρει. Σοφιζομένου τοίνυν ἐστὶ τὸν αὐτὸν ποιεῖσθαι λόγον περὶ τῶν μὴ τῶν αὐτῶν, εἰ δέ τις τούτων ἑαυτὸν ἐπιρρίψειε τρόπῳ τινὶ τῶν τῆς προνοίας, αὐτῷ τούτῳ γίνεται βλαπτικόν, καὶ κατὰ θεομηνίαν· ὥστε οὐκ ἀναιρεῖται ἡ μείζων. Εἰ δὲ καὶ αὐτὸς Ἀριστοτέλης μεθ' ὧν ἐπραγματεύσατο συλλογισμῶν καὶ προτάσεων, εἴτε σοφιστικῶν εἴτε μὴ τοιούτων, ἐπελθὼν ἡμῖν ἄλλο τι φρονεῖν ἀξιοῖ, ὃ μὴ συνίστησι τὸ παντοδύναμον καὶ παντέφορον καὶ προνοητικὸν τοῦ Θεοῦ, σὺν ἐκείνοις αὐτῷ χαίρειν ἐροῦμεν. Καὶ λοιπὸν ὃ κατέχεις διαπέπτωκεν, οὐ γάρ μοι συγκεχώρηται οὐδὲ κεκύρωται περὶ τούτου γράψαι διὰ τὰς ἐπελθούσας μοι ἀσθενείας, τῷ κομιστῇ τουτωὶ παρήγγειλα διηγήσασθαί σοι.

ΕΠΙΣΤΟΛΑΙ ΤΟΥ ΜΗΤΡΟΠΟΛΙΤΟΥ ΜΗΔΕΙΑΣ.

1.

Τοῦ μητροπολίτου Μηδείας πρός τινα τῶν ἀρχόντων.

Πολλάκις πυνθανομένῳ περὶ τῆς εὐκλεοῦς εὐγενείας σου, ἀεί μοι καταγγέλονται σφοδραί τινες τοῦ ἕλκους σου καὶ δειναὶ περιωδινίαι ὑπὸ τῆς ἐπελθούσης σοι περὶ τὰ τείχη βολῆς ἔξωθεν ἀμύνοντι. Σκοπήσαι δ' οὖν δυνηθείης, εὐγενέστατε, ὅ,θ' ὑπὲρ πόλεως παθεῖν καὶ ἐν τοῖς ἔπειτα μακαριστὸν ἔσεσθαι χρόνοις, ἀλλὰ δὴ καὶ τοὺς τῶν προγόνων σου τῶν μακαρίων καὶ ἰσοθέων φωτῶν ἐπὶ νοῦν ἀναλαβεῖν χρηστότητα, ὅση παρὰ πάντων μακαριότης περίεστιν ἰδεῖν ᾄδεται. Τῶν τοιγαροῦν μιμητὴς γενέσθαι μὴ κατακνήσῃς καὶ περὶ τῶν ἐπερχομένων τῇ Ἐκκλησίᾳ δεινῶν χεῖρα βοηθείας ὀρέξαι· ἤδη γὰρ τὸ πικρὸν τῆς σιμωνίας ἔργον ἀναφανέν, ἐξόλεθρον παντάπασι τὸ γένος ἡμῶν καταναγκάζει γενέσθαι. Μὴ δυνάμενος δὲ πλατύτερον περὶ τούτου γράψαι διὰ τὰς ἐπελθούσας μοι ἀσθενείας, τῷ κομιστῇ τουτωὶ παρήγγειλα διηγήσασθαί σοι.

2.

Ὁ Μηδείας τῷ μητροπολίτῃ Ἐφέσου.

Ἐκ τῆς νόσου ἀνασφήλας προσφωνῶ σοι τῇ φίλῃ μοι κεφαλῇ· τί ταῦτα, ὦ φίλων ἄριστε, τῆς τῶν Ἐφεσίων ἱερᾶς μητροπόλεως ποιμενάρχα καὶ λόγοις τοῖς κατὰ σὲ ποιμαίνειν αὐτὴν καὶ μηδὲν πρὸ τῆς ἀληθείας ὀφείλων τιμᾷν; οὐκ ἔδει σε τοῖς κειμένοις τῆς Ἐκκλησίας νόμοις ἐπαμύνειν ἢ μᾶλλον κατορχεῖσθαι τούτων; οὐκ εὐλαβῇ τὸν ἐπιτιμῶντά σε προφήτην «εἰ ἐθεώρεις κλέπτην συνέτρεχες αὐτῷ» φάσκοντα;[1] Ὦ νόμοι, ὦ θεσπίσματα ἱερά, ὦ θεῖοι μυσταγωγοὶ οἱ ταῦτα θεσπίσαντες, ὦ θεὲ πρῶτε πάντων καὶ κοινὲ διδάσκαλε, ἦν λή-

1. Ψαλμ. 49, 17.

ρος ὅσα τεθεσπίκατε; τὸ *μὴ φοβεῖσθε ἀπὸ τῶν ἀνθρώπων* μάταιον; τὸ *μὴ κρίνετε κατ' ὄψιν*[1] ἀνόητον; τὸ *ζητεῖτε πρῶτον τὴν βασιλείαν* τοῦ Θεοῦ *καὶ ταῦτα πάντα προστεθήσεται ὑμῖν*[2] ψεῦδος; Ὦ τῆς βίας! ταῦτα γὰρ ἀντικρύς φασιν οἱ τούτων ἀφροντιστοῦντες. Σὲ δὲ οὐκ ἔδει τοιοῦτον εἶναι, τοιοῦτον ὄντα. Ἐξέθλιψαν ἡμᾶς τὰ ἐν Χίῳ, οἷς πιστεύειν οὐκ εἴχομεν, ὑπὸ τῆς εὐνοίας εἰργόμενοι καὶ τὴν σὴν εἰδότες περὶ τὰ τοιαῦτα διάθεσιν, εἰ καὶ γράμμασι καὶ λόγοις ἐβεβαίουν ἡμῖν τοιαῦτα πολλοί. Ἡ ἐνθάδε παρουσία σου δόξαν παρέσχεν, ὡς ἄρα χεῖρα ὀρέξεις βοηθείας τοῖς καταπατηθεῖσι τῆς Ἐκκλησίας νόμοις, σὺ δὲ ἄρα καὶ τοὺς μήπω κατεπάτησας. Ἀπώλωλεν, ὦ δίκη, τῆς Ἐκκλησίας ἅπαν σεμνὸν καὶ τίμιον· ἐξέλιπεν εὐλάβεια καὶ αἰδὼς καὶ ἡ πρὸς Θεὸν ἐλπίς. Ἀκήκοα λεγόντων τινῶν, ὅτι κλυδωνίζεται ἡ Ἐκκλησία ὑπὸ τῶν ἀντιπνεόντων ἀνέμων, ἐγὼ δέ φημι ὅτι καὶ τελείως ἐναυάγησε καὶ βεβύθισται τῇ ἀπωλείᾳ, τῇ τοῦ κλύδωνος ἐπικρατείᾳ. Αἴτιοι δὲ τοῦ κακοῦ, ὁ τῆς φιλαρχίας ἔρως καὶ ὑμεῖς οἱ σοφοὶ ποιμενάρχαι, τὸ ἅγιον ἔθνος, τὸ βασίλειον ἱεράτευμα. Παρῶπται μὲν ὁ τῆς συμωνίας νόμος ἐπισείων τὰ δεινότατα, σκῆψις δὲ ἡ μὴ οὖσα τοῦ κρατοῦντος βία· σεσάλευται ὁ περὶ τῶν γάμων, ἄλλου προστάξαντος. Ἔστω ταῦτα· ἄρχοντές εἰσιν, ὥσθ' ὑπεικτέον τιμῇ· εἰ δὲ τῶν ἐξ αὐτῶν εὐθυνῶν ὑμεῖς ἀθῶοι, οὐκ οἶδα. Ἀλλ' ἑτέρου κανόνος ὁμόσε χωροῦντος κατὰ τῶν πρὸ τῶν κε' χρόνων διακόνῳ καὶ πρὸ τῶν λ' πρεσβυτέρῳ χεῖρα ἐπιθησόντων, καὶ τίμημα τὴν καθαίρεσιν ἐπάγοντος τῷ οὕτω χειροτονήσαντι σὺν τῷ χειροτονηθέντι[3], αὐτὸς τὸν Χριστοφόρον μήπω τὸν εἰκοστὸν παραμείψαντα πρεσβύτερον κεχειροτόνηκας; εἰ δὲ κατ' ἐπιταγήν, τί τοῦτο ἢ *πασίαρ*[4] ἐστιν ὁ ἐπιτάξας; Καλὸν λυπῆσαι γονεῖς καὶ μὴ Κύριον· ὁ μὲν γὰρ καὶ ἔπλασε καὶ ἔσωσεν, οἱ δὲ οὓς ἠγάπησαν πολλάκις ἀπώλεσαν καὶ τῇ κολάσει παρέδωκαν.

1. Ἰω. Εὐαγγ. 7, 24.
2. Ματθ. 6, 33.
3. Κανὼν ιδ' τῆς ἐν τῷ Τρούλλῳ ς' οἰκουμενικῆς συνόδου. Ἴδε καὶ ἑρμηνείαν Ζωναρᾶ καὶ Βαλσαμῶνος ἐν Ῥάλλη καὶ Ποτλῇ Συντάγμ., τ. Β', σ. 338. Καν. ια' τῆς ἐν Νεοκαισ. συνόδου. Καν. ις' τῆς ἐν Καρθαγ. συνόδου. Πρβλ. Βλαστάρεως Σύνταγμα ἐν κεφ. β' τοῦ Π.
4. Ὁ τύπος οὗτος τῆς τουρκικῆς λέξεως π α σ ᾶ ἀπαντᾷ καὶ ἐν συγγράμμασιν ἑτέρων λογίων τῆς ΙΕ' καὶ ΙΣ' ἑκατονταετηρίδος.

3.

Τῷ Χαλκηδόνος.

Ὁ Κύριος τοῖς αὐτῷ φοιτῶσι πειθομένοις τῷ Βαπτιστῇ, εἰ αὐτὸς ὢν ἐλήλυθεν ὁ ἐρχόμενος ἢ ἕτερος προσδοκᾶται, τὴν διὰ τῶν ἔργων ἀπένειμεν διάκρισιν, οὔτ' ἐκείνου μὴ εἰδότος ὃ ἠρώτα, οὔτε τῆς ὑπερσόφου σοφίας ἁπλῶς οὕτως καὶ ἄνευ ἀποκρινομένου σκοποῦ. Καὶ σοῦ δὲ φιλίως ἐρωτήσαντος ὅπως ἔχω, *ὡς ὁρᾷς* ἀπεκρινάμην, ἴσως φανεροῦ τυγχάνοντος τοῦ ἔργου μου· ἀλλ' ὡς ἔοικε κουφότητα ἢ πλάνην μου καταγνοὺς προὔφερές μοι τὸ αὐθαίρετον, ὃ οὐδ' ἂν αὐτὸς ἀρνησαίμην, εἰ καί τισιν ἐν μέρει δόξειεν ὀνείδους ὁ ἰδιασμὸς καὶ τὸ ἀκοινώνητον καὶ τὸ ταπεινῶς βαίνειν, ἐφ' οἷς ἥκιστα ἀνιῶμαι, ὡς καὶ αὐτὸς ὑπέθου. Ἑνὸν ἑνὶ λόγῳ εἰς ἔργον ἐκβεβηκότι τὸ πᾶν ἄμειψαι, εἰ τοῦτ' ἦν. Ἀλλ' εὐθύμως καὶ μάλα φέρω διὰ τὴν εἰσφρήσασαν τῇ Ἐκκλησίᾳ τῶν θείων θεσμῶν καὶ κανόνων ἀθέτησιν, τῶν τοῖς ὀλιγωροῦσι τούτων ἐπιτιμώντων ἀσυμπαθῶς, δι' οὐδὲν ἕτερον καταδεχομένοις τὰ ἀφόρητα ἐπιτίμια ἢ διὰ φιλαρχίαν καὶ τύφον, καὶ τῷ ταπεινοτάτῳ ἐνθρονίζεσθαι ὕψει, καὶ ὑψαύχεσιν ἐποχεῖσθαι ἵπποις, καὶ τοῖς ἀνελευθέροις περιβορβεῖσθαι κόλαξι, καὶ καροῦσθαι κέρδη ἐπιζήμια, ἃ οὔτε τῶν ἐχόντων οὔτε τῶν πρὸς αὐτὰ κεχηνότων, ὥς περ οὐδὲ τῶν κτησαμένων τὴν ἀρχὴν πεφύκασι. Καὶ ῥᾷστον ἂν ἦν τὰ τῆς τοιαύτης νόσου ῥᾴον σχεῖν, εἰ μόνον τὸ ἐμὸν ἔθνος καὶ οἱ ἀρχιερεῖς μὴ τοῖς τοιούτοις ἦσαν ἐνισχημένοι καὶ αὐτοί, ἐφρόντιζον δὲ ὁπωσοῦν θεσμῶν ἐκκλησιαστικῶν καὶ τὰ ἐπιτίμια ἔφριττον, καὶ μὴ τῷ Μαμωνᾷ μὲν ἐδούλευον, ὠλιγώρουν δὲ τοῦ Θεοῦ, μητροπόλεις ἀμείβοντες καὶ προσόδους θηρώμενοι καὶ οὐδὲν ἕτερον διανοούμενοι, ὧν τέλος ἡ ἐπηρμένη δίκη τοῖς παραβάταις καὶ ἀθετηταῖς τοῦ Θεοῦ καὶ τῶν ἁγίων αὐτοῦ ἐντολῶν· *ἐὰν γὰρ μὴ θέλητέ φησι μηδὲ εἰσακούσητέ μου, μάχαιρα ὑμᾶς κατέδεται*[1]· ἐξ ὧν τὴν δίκην τῆς καταστροφῆς τῆς Ἐκκλησίας ὁ Κύριος εἰσπράξεται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ τῇ φοβερᾷ, ὅτε ἀποδώσει ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ. Ποῦ νῦν οἱ ἐγκαλοῦντες τὰς τετραγαμίας καὶ μοιχοτευξίας, τὰς μὴ οὔσας, καὶ ἑαυτοὺς τοῖς μάρτυσιν ἐντάττοντες ὡς μέχρις αἵματος τῶν κανόνων ὑπεραθλοῦντες, ὀφείλοντες μέν, οὐ ποιοῦντες δέ; Καὶ μαρτύριον ὅσα τῶν χειρόνων ἀνερυθριάστως νῦν διαπράττονται, καὶ πα-

1. Ἠσαΐας 1, 20.

ρίημι τὰ ἄλλα. Ἀλλ' αὐτοῖς μὲν ἵλεως ὁ Κύριος γένοιτο, ἀντιλάβοιτο δὲ τῆς Ἐκκλησίας αὐτοῦ τῇ οἰκείᾳ ἀγαθότητι, εἰ μὴ παντελῶς ἐκτρίψαι βούλοιτο ταύτην διὰ τὸ ἀνεπίστροφον ἡμῶν. Σοὶ δὲ χάρις, ἀδελφῶν ποθεινότατε, εὔνως ἡμῖν ἀεὶ διακειμένῳ.

4.

Τῷ μεγάλῳ Σακελλαρίῳ.

Ἀπώλωλεν, ὦ μέγα Σακελλάριε, παρ' ὑμῖν τοῖς ἄρχουσι τῆς Ἐκκλησίας τὸ κύριον καὶ ἐξαίρετον τῆς κλήσεως ταύτης, μᾶλλον δὲ ἀντέστραπται· καὶ φιλόδουλοι καὶ φιλοδέσποτοι ἀντ' ἀρχόντων καὶ ἐλευθέρων γεγόνατε, τὰ ἐν οἷς τὸ ἄρχειν ὅσιόν τε καὶ ψυχωφελὲς καὶ ὧν τέταχθε[1] κριταὶ θείῳ θεσπίσματι καὶ δεφένδορες εἶναι, ταῦτα προδεδωκότες. Οὐκ ἔχω δ' εἰπεῖν εἴτε ὡς Ἠσαῦ φαγεῖν χάριν εἴτε τῷ τρόπῳ ἑτέρῳ, ὧν τὰ ἐπιτίμια σφοδρὰ καὶ ψυχώλεθρα, ἅπερ καὶ αὐτὸς οὐκ ἀγνοεῖς χρόνῳ τε καὶ συνέσει καὶ πείρᾳ τῶν ἄλλων προέχων, καὶ ἡγεῖσθαι δίκαιον ἔχων, ἢ μὴ πειθομένων ἀφίστασθαι τῶν τὸ ἀκοινώνητον παρὰ τῶν ἱερῶν θεσπισμάτων κληρωσαμένων. Εἰ δέ τινες τὰ ἀνόσια κέρδη θαυμάζοντες, ἢ τὸ δοκεῖν φοβεροὶ καὶ τὴν δουλικὴν ταύτην ἀρχὴν ἀγαπῶντες ταῖς θωπείαις ταύταις καὶ δουλείαις ἀγαπῶσιν, ἀλλ' οὐκ ἔδει σε τοῖς τοιούτοις ἐνασμενίζειν, μήτε περιουσίας μήτε μείζονος τιμῆς ἐπιδεξίως ἀτυγχάνοντα. Εἰ δὲ καὶ ἄνευ τοῦ κερδαίνειν ἐφέπῃ τοῖς τοιούτοις ὑπερβαῖον τὸ λῆμμα, πόσον τὸ δεινὸν καὶ ἡ δίκη ποσαπλῆ; Οὐ γὰρ οἶμαι ἐκ τῆς τοῦ Ῥεπανᾶ τετραγαμίας νοσφίσασθαί σέ τι, ἧς πολλάκις σου ἀκήκοα καταγινώσκοντος, ὡς ἄλλων συνιεώντων αὐτὴν καὶ ψυχροῖς ῥήμασι καὶ διεστραμμέναις ἑρμηνείαις ἀθωούντων τοῦ λαβεῖν χάριν, εἰ καὶ ἄλλοις ἦσαν βαρεῖς ἐπιτιμηταὶ ἀγνῶσι καὶ ἀνωτέροις τοῦ λήμματος. Τί γὰρ εἰ τὸν ἀγνοοῦντα προσποιοῦνται νῦν, συλᾷν τὸ ἀκατάγνωστον περιῴμενοι; Καλά γε ταῦτα, ὦ τοῦ Θεοῦ ἄνθρωπε, πρῶτα καὶ τῇ τιμῇ καὶ τῷ χρόνῳ καὶ τῇ τῶν θεσμῶν εἰδήσει τῶν ἐκκλησιαστικῶν, καὶ διδάσκαλος ὀφείλων εἶναι ἐν τῇ Ἐκκλησίᾳ; Ἡμεῖς μὲν ἴσως ἀπειπάμεθα ἤδη ταῦτα καὶ ἀπόγρη, μένουσιν ἡμῖν ἐπὶ τῆς τάξεως ἐφ' ἧς ἡμᾶς ἔταξεν ὁ Θεός, περὶ σφῶν αὐτῶν μεριμνᾷν, οὐ δίκαιον δέ σε τὸν κορυφαῖον τοῦ πληρώματος τῆς Ἐκκλησίας τοῖς τοιούτοις τῶν ἀθέσμων κοινωνεῖν· ἢ δοκεῖ σοι τὰ τῶν θείων Πατέρων ἐπιτίμια μὴ ἐνεργεῖν ἐπὶ τοὺς παρόπτας αὐτῶν; οὐ γὰρ τεθνήκασιν ἐκεῖνοι, εἴπερ τὸ Πνεῦμα τὸ ἅγιον ἐλάλει δι' ἐκείνων καὶ ἀεὶ ζῇ ὡς Θεὸς καὶ τοὺς ἀθετητὰς τῶν αὐτοῦ ῥημάτων ἐπεξελεύσεται, ἐπεὶ κἀκεῖνοι εἰς τὸν αἰῶνα ζῶσι καὶ συνεργάζονται τὴν ἐπεξέλευσιν. Εἰ γὰρ ἠκυρώσαμεν τὰς τῆς συμωνίας δίκας, εἰ παρορῶμεν τὰς περὶ γάμων παρατηρήσεις, καὶ ταῦτα μὴ οὔσης βίας, ἢ τινων ἐστὶ σκῆψις, εἰς τοὺς ἐπὶ ταῖς χειροτονίαις θεσμοὺς ἠθετήκαμεν ἡμεῖς, ἀλλ' οὐ τὸ Πνεῦμα τὸ ἅγιον καὶ ἡ τοῦ Θεοῦ ῥομφαία· εἰ καὶ ἀναβάλλεται φιλαλήθως, στιλβοῦται ὅμως. Τί γὰρ φησιν ὁ Θεός; *Ἐὰν μὴ εἰσακούσητε ἐμοῦ τοῦ πορεύεσθαι ἐν τοῖς νόμοις μου, δώσω τὸν οἶκον τοῦτον ὥσπερ Σηλώμ, καὶ τὴν πόλιν ταύτην δώσω εἰς κατάραν πᾶσι τοῖς ἔθνεσι*[1]. Καὶ οὐκ εἶπε μὲν οὕτως, οὐκ ἐποίησε δέ, ὡς ἔγωγε δέδοικα, μὴ καὶ χεῖρον ἡμῶν καθάψηται ἔτι, ὡς καὶ τούτου γενομένου, οὐδαμῶς δὲ ἀπωναμένων, ἀλλὰ καὶ ἐπὶ τὸ χεῖρον προκεκοφότων ἡμῶν· *καὶ ἵνα τί ἔτι πληγῆτε, φησί, προστιθέντες ἀνομίαν;*[2] Ὑπόλοιπος τοίνυν ἡμῖν ἡ παντελὴς ἀπώλεια. Ταῦτα μὲν οἶδας αὐτὸς μᾶλλον ἢ ἡμεῖς, τῷ δὲ περὶ τὴν σὴν τιμιότητα φίλτρῳ ὑπεμνήσαμεν μικρά, ἵν' αὐτὸς οἴκοθεν τὰ πλείω προσθῇς. Μὴ θαυμάσῃς δὲ πρός τινων ἀκούων, ὡς ἡμεῖς ἠτησάμεθα τὴν Ἡράκλειαν τὴν κοινωνίαν ἐπαγγειλάμενοι· οὐ γὰρ διὰ τούτου τοὺς ἐχέφρονας παρακρούονται.

5.

Τῷ μεγάλῳ Ἐκκλησιάρχῃ.

Δυοῖν ἐγκλημάτων θατέρου σοι γραφὴν ἐποίσειν ἐχόντων ἡμῶν, ἔξεστί σοι τὸ κουφότερον δοκοῦν ἑλομένῳ λέγειν, οὐδέτερόν σοι προσήκειν ἀξιούντων ἡμῶν, ἀναγκαίως δ' ἑπομένων ἔργοις τε καὶ λόγοις τοῖς σοῖς· αἱρήσειν γὰρ ἡγησάμενος ἡμᾶς τοῖς ἡμετέροις (ὃ δὴ λέγεται) πτεροῖς, λέληθας σαυτὸν μηδ' ἄκρῳ κρατήσας τῷ ὄνυχι. Καὶ ἡ ἐπίνοια διήμαρτέ σοι ἐνδεικνυμένῳ τὰ ἡμέτερα, ἃ Ἰγνατίῳ τῷ μακαρίῳ γεγράφαται γράμματα, καὶ ὅτι ἔξεστι τῇ Ἐκκλησίᾳ νόμους καὶ κανόνας οἰκονομικῶς μεταμείβειν ἐκ τούτων κατασκευάζοντι· ἢ γὰρ οὐ ξυνίης τῶν γεγραμμένων τὸν νοῦν, ὅπερ ἀγροικίας καὶ ἀμαθίας ἐστίν, ἢ συκοφαντεῖς, ὃ πρὸς ἐχθροῦ τῆς ἀληθείας τυγχάνει. Ἡ μὲν γὰρ Ἐκκλησία τῇ ἀντιφάσει οὐκ ἄν ποτε ἐνασμενί-

1. Ἐν τῇ ὥρᾳ «κρεῖττον κ α τ έ σ τ η τ ε».

1. Ἱερεμ. 33, 4, 6.
2. Ἠσαΐου 1, 5.

σειε διαπρυσίως βοῶσα «τοῖς ἐν καταφρονήσει τιθεμένοις τοὺς ἱεροὺς καὶ θείους κανόνας τῶν ἁγίων Πατέρων, οἳ καὶ τὴν ἁγίαν Ἐκκλησίαν ὑπερείδουσι καὶ τὴν χριστιανικὴν πολιτείαν κοσμοῦντες πρὸς θείαν ποδηγοῦσιν εὐλάβειαν, ἀνάθεμα!». Καὶ αὖθις· «ἅπαντα τὰ παρὰ τὴν ἐκκλησιαστικὴν ὑποτύπωσιν ἢ διδασκαλίαν καὶ παράδοσιν τῶν ἁγίων Πατέρων καινοτομηθέντα καὶ πραχθέντα ἢ πραχθησόμενα, ἀνάθεμα». Ἡμεῖς δὲ οὐ κατασκάπτειν καὶ ἀνατρέπειν τὰ τείχη καὶ ὀχυρώματα τῆς Ἐκκλησίας, τοὺς ἱεροὺς κανόνας καὶ τὰς ὑποτυπώσεις τῶν θείων Πατέρων ἐν ἐκείνοις ἀξιοῦμεν τοῖς γράμμασιν, ὃ νῦν ἐστιν ὁρᾶν γινόμενον, εἰ μή που τῶν γραμμάτων ἐκείνων ἐξεῖλες, ἢ ἑκὼν παρατρέχεις τὸ οἰκονομούσαν καὶ μηχανομένην τὸ ἀζήμιον τῶν ὑπ' αὐτὴν ψυχῶν καὶ τῆς πίστεως, ἀπαθῶς γέ τοι σὺν ἀδιαβλήτοις ταῖς ψήφοις καὶ παρατηρήσεσι ταῖς προσηκούσαις, ὃ καὶ ἄλλῳ τινὶ τῶν ἱερῶν ἀνδρῶν εἴρηται πρότερον, οἰκονομητέον εἰπόντι ἔνθα μὴ παρανομητέον, καὶ εἴ τις τῶν δοκούντων τοῖς ἱεροῖς Πατράσι σαλεύει τι, οὐκέτι τοῦτο οἰκονομίαν κλητέον, ἀλλὰ παράβασιν καὶ προδοσίαν δόγματος καὶ περὶ τὸ θεῖον ἀσέβειαν; Καὶ εἰκότως· οὐ γὰρ ἦσαν φησὶν αὐτοὶ οἱ λαλοῦντες, ἀλλὰ τὸ Πνεῦμα τοῦ Θεοῦ. Τὸ δὲ ἀντινομοθετεῖν λέγοντες, οὐ τἀναντία ἐξεῖναι φαμὲν τῇ Ἐκκλησίᾳ θεῖναι, ἀλλὰ τὸ ἐξ ἴσου νομοθετεῖν ἐφ' οἷς οὐκ ἔφθασαν οἱ πρότερον, κατὰ τὸ ἀμφιταλαντεύειν καὶ ἀντισταθμίζειν καὶ μεταίρειν ὅρια ἐφ' οἷς ἐνδεῖ τινός, ἢ ἄλλως πως οἰκονομίας δεομένοις, τοῦ καιροῦ τὴν ἀναπλήρωσιν εἰσπράττοντος, εὐαγέσι γέ τοι τρόποις καὶ προσφόροις ἐκκλησίᾳ Θεοῦ. Καὶ παρίημι νῦν τοὺς τρόπους ἐλέγχειν τῶν καθ' ὑμᾶς οἰκονομιῶν οὐκ ἀφανεῖς ὄντας· ὁ δέ γε θεσπέσιος Γεννάδιος παρανοίγειν τὸν θριγγὸν τῆς Ἐκκλησίας καὶ ἐπὶ νομὰς ἐξάγειν τὰ λογικὰ θρέμματα ζωτικάς, ἀσινῶν τηρουμένων καὶ τῶν ψυχῶν καὶ τῆς πίστεως αὐτῶν ἀξιῶν, οὔτε αὐτὸς ἐμπαθῶς καὶ σκολιαῖς ταῖς ψήφοις ἔλεγε τοῦτο, οὔτε ἡμεῖς ὑπέρασπίζοντες τούτου· καὶ ἃ ἐν ἐκείνοις εἰρήκαμεν τοῖς γράμμασιν ὑπὲρ τῶν ἐκείνου τὸν τοιοῦτον εἴρηται τρόπον, οὔτε δ' ὑμῖν ἐκεῖνα συνεδόκει τότε, ἄλλων παθῶν ἡγουμένων, οὔτ' ἐκεῖνος συνίστη τῇ ἰδίᾳ γνώμῃ, οὔθ' ἡμεῖς ἐπεκδικεῖν πλέον προήχθημεν, οὔθ' ἡ Ἐκκλησία παρεδέξατο. Νῦν δ' ἕτερα πάθη τοῦ καιροῦ σχεδιάσαντος ἐν ὑμῖν τοῖς ἡγουμένοις τῆς Ἐκκλησίας, οὐ παρανοίγειν ἀξιοῦτε τὸν θριγγὸν μετὰ τῆς τῶν ὑποτυπώσεων παρατηρήσεως καὶ τοῦ ἀπαθοῦς, ἀλλὰ τὰς μεγάλας ἀναπετασσύειν κλισιαδίας, μᾶλλον δὲ ὅλον τὸν φραγμὸν περιαιρεῖν, ἐφ' ᾧ καὶ τὰς ψυχὰς βλάπτεσθαι πολλῶν, νεκρουμένης καὶ τῆς πίστεως ἐν αὐτοῖς τῇ ἐνδείᾳ τῶν ἔργων τῶν εὐσεβῶν. Βούλει δ' ὅμως τοῖς ἡμετέροις ἐνιέναι πάθεσι τὸ ἰσχυρόν· ἃ εἰρήκαμεν ἡμεῖς ἑνὸς ἕνεκα μερικοῦ καὶ μικροῦ, εἰς τὰ πάντα καὶ καθόλου μετάγων συνερίθω (;) τῇ συκοφαντίᾳ ἢ παρεξηγήσει χρώμενος· καὶ δὴ μὴ ἀπαξιώσῃς ἀποκρίνασθαι ἐρομένῳ μοι τουτί. Αὐτὸς μὲν ἐμβριθῶς ἄγαν καὶ ἰταμῶς παρανόμων ἡμῶν ἐγράφου τὸ πρότερον καὶ οὔτε τῇ ἀπάτῃ καὶ ἀγνοίᾳ χώραν παρεῖχες, οὔτε τοῖς προστάταις τὸ πρᾶγμα ἡμῶν ἀναφερόντων ἔφερες, ἀλλὰ καὶ ἔγγραφον παράγων νόμου τεμάχιον, οὐκ οἶδα πόθεν λαβών, τὸ ἀσύγγνωστον ἐψηφίζου· νῦν δ' οὐ τῶν ὧν ἡμᾶς ἠτιῶ γινομένων, ἀλλ' ἁπλῶς πάντων νομίμων τε καὶ κανονικῶν διεφθορότων, καὶ τῶν μὲν ἐνεργείαις, τῶν δὲ συμβουλαῖς ἢ προδοσίαις ἢ οἰκονομίαις ἢ διοικήσεσι ταῖς σαῖς τελειουμένων, καὶ διὰ τὸ ἀπεμφαίνον αὐτῶν, αὐτοῦ σου μεταβαλόντος κἀκ τῶν ἡμετέρων ὧν ἐγράφου παρανόμων τὸ εὔλογον αὐτοῖς χαριζομένου, ποτέρῳ τῶν καιρῶν πολιτεύεσθαί σε καλῶς καὶ δικαίως φήσομεν, ἐν χρηστότητι τρόπων καὶ ἤθους ἡμερότητι καὶ ὧν ἡμῖν ὤφειλες χαρίτων ἐκτίσει; Εἰ μέν γε νῦν ὅτε καὶ ὁ χρόνος καὶ ἡ τῶν πραγμάτων πεῖρα προκόπτειν ἐν τοῖς ἀγαθοῖς τὸν ἀγαθὸν καὶ θεῖον ἄνδρα ποιεῖ, κακῶς ἄρα τότε καὶ διενοοῦ καὶ ἔπραττες καὶ ἔλεγες καθ' ἡμῶν· εἰ δὲ τότε ταῦτα ὡς προσῆκον ἐποίεις, νῦν ἄρα πρακέκοφα ἐν τοῖς χειρίστοις, ὃ πρὸς ἀνδρὸς οὐκ ἂν εἴη ποτ' ἀγαθοῦ· ἢ πῶς ἂν εἴποιμι μετριώτερον; Ἀλλά σοι μὲν ἵλεως ὁ Κύριος γένοιτο, ἅμα δὲ καὶ ἡμῖν, εἰρήνην δὲ καὶ τῇ Ἐκκλησίᾳ παρέσχοι, δωρεᾷ τε καὶ χάριτι, ὡς οἶδεν αὐτός.

ϛ.

(Ἀνεπίγραφος).

Ὤδυσεν ὄρος καὶ ἔτεκε μῦν· ἡ παροιμία φησί, τὸ δὲ κύημα τοῦ ὄρους τούτου τῆς σῆς ὑπερηφανίας χρύνιον ἀποτεχθέν, τῷ τεκόντι σύμμορφον ἀτεχνῶς τῷ τε ποικίλῳ τοῦ ἤθους καὶ τῷ τῆς γνώμης σκολιῷ, ἃ σοι πρὸς τρόπου πεφύκασι· καὶ ὄγκου μὲν ἕνεκα ὑπερῆρται καὶ ἐλέφαντος, ἰσχύος δὲ καὶ ἐμπίδος ἥττηται τῇ περιβομβήσει μόνῃ τὰς ἀκοὰς ἀποκναίσαν, μηδένα δὲ πείθειν ἔχον, εἰ μή πού τίς ἐστι κατά σε. Τίς γὰρ οὐκ οἶδε τὰ σά; ἀλλὰ καὶ πτερῶν ἐνδεῖ τούτῳ πρὸς πτῆσιν, ποδῶν δ' ἀπορεῖ πρὸς πορείας ἐφ' ᾧ πρὸς ἡμᾶς ἀφίξεται, καὶ οὐδ' ἑρπύσαι ἰσχύει· ἄλλως δ' ἐναγὲς ὂν καὶ ἐτήσιον ἄχθος, οὐδὲ φορᾶδην ἔχει ἐλθεῖν, πάντων ἀποσειομένων τὴν ἐκ τοῦ θίγειν αὐτοῦ προστροπήν· καὶ ὑποσχέσεως μὲν ἕνεκα ἐπιστολή, ἔργου δὲ φυλαρία, ἧς τὸ ἐπιτίμιον παρὰ τῶν νόμων τῷ καὶ δευτέρῳ τινὶ γνωρίσαντι ταύτην ἡ τῆς κεφαλῆς ζημία, καὶ ταῦτ' ἀγνοουμένου τοῦ συντεθεικότος τὴν ἀρχήν· οὐχ ἥκιστα δὲ καὶ βαρυτέρῳ τῷ τιμήματι ὑπόχρεων σαυτὸν εἰργάσω, ὡς πρὸ τοῦ ἐπιστεῖλαι τῷ ᾧ γέγραπται, ὃ νόμος ἐστὶν ἐπιστολῆς, πολλοῖς ἑτέροις ἐπιδεικνύμενος ταύτην λοίδορον οὖσαν, ὃ φλυαρίας ἐστί, πρός σου συντεθεῖσθαι καθωμολόγεις. Ἔδει δὲ πάντως καὶ αὐτὸν σὲ θέσθαι καὶ ἀμφοῖν ταῖν αἰτίαιν, ὧν ἡμεῖς μέν σοι τὴν ἑτέραν εἰς αἵρεσιν προὐτείναμεν, αὐτὸς δὲ σαυτῷ καὶ ἄμφω κεκύρωκας· καὶ πρώην μὲν ἀγροικίας ἕλκος σαφῶς· οὐ γὰρ ἔχεις ἀντερεῖν, νῦν δὲ κέχρησαι τῇ συκοφαντίᾳ, μᾶλλον δὲ ὑβρίζεις δήπου τὸ πρὸς τῶν οἰκείων ταῖς ὕβρεσι ποιῶν, οἳ τὸ σῷ αὐτῶν αἶσχος ἐπηλυγάζειν ἡγοῦνται, εἰ καὶ ἄλλοις μὴ τοιούτοις τοῦτο περιάψαιεν. Ἂν δὲ καὶ πλείω τὴν ἐωλοκρασίαν ταύτην καὶ ἀδιλεσχίαν καταχέῃς ἡμῶν, οὐκ ἐφικνεῖται· εἰς σαυτὸν γὰρ ἐπανακάμπτει μειζόνων τε καὶ πλειόνων ὑπόδικον ὄντα ὧν ἡμῶν καταψεύδῃ. Καὶ ἀριδήλως ἐφάνη τοῦτο καὶ κεκύρωται ἐπὶ συνόδου ἀψευδοῦς, ἢ καὶ ὡς ἐνῆν ἐπιτετίμηκέ σοι, ἐπεὶ τοῖς ἀξίοις οὐκ ἐξῆν, εἰ καὶ αὐτὸς ὕστερον δραξάμενος καιροῦ κατορχήσω τοῦ τιμήματος· καθαίρεσις δὲ ἦν, μήτε συνόδῳ μήτ' ἐκκλησιαστικῇ δικαίᾳ διακρίσει θαρρήσας τῶν αἰτιῶν ἑαυτὸν ἀπολύσαι. Περιόδοις δὲ καὶ μηχαναῖς καὶ ἁπλαῖς ἀποσυλήσας τὴν ἀθώωσιν, μὴ οὖσαν κυρίως, καὶ ἀφαγῇ νῦν ἀντέχῃ τοῦ ὀθνείου, ὃ μόνης τῆς σῆς ἐστι τόλμης· αὐτὸ δ' ὑπὸ Θεῷ συνεργῷ καὶ τῇ ἀληθείᾳ, καὶ τότε κανονικῶς καὶ μάλα εὐγενῶς περιεγεγόνει, ὧν συκοφαντῶν ἐδίωκες αὐτός, καὶ ἀεὶ πᾶν συμμαρτυρεῖ μοι στόμα· πλὴν εἴπερ ἐστὶν ἕτερον ἐς δεῦρο κατὰ τὸ σόν, ἐφ' ᾧ καὶ ἧττόν μοι μέλει καὶ μελήσει σοῦ τε καὶ τῶν σῶν, εἰ καὶ πολλάκις τοιαῦτ' ἐρεῖς ἃ σαυτῷ μᾶλλον τὴν αἰσχύνην φέρει, οὐμενοῦν ἐμοί. Ἄχθομαι δ' ἐπιεικῶς ἠπειγμένως ἃ μὴ φίλα μοι λέγων· ἑρμηνεῦσαι γὰρ τὰ καλῶς εἰρημένα μοι προστησάμενος, ἃ μετέστρεφες ἀπεικότως αὐτός, ᾧ πέφυκας φιλολοιδόρῳ, εἰς ὃ μὴ πέφυκα αὐτὸς ἐξετράπην, μετὰ τῶν ἄλλων καὶ τοῦτ' ἀδικηθεὶς ὑπό σου, τῷ τοι καὶ πεφειδημένως πάνυ τῶν τοιούτων λόγων ἡψάμην. Διὸ καὶ ἄλις μὲν ἐμοὶ ὡς ἐγὼ κρίνω, σὺ δ' εἰ μὴ βούλει τοῦτο, αὐτὸς ὄψει.

ϛ.

Ἐγκεῖφ μοναχῷ τῷ Εὐφημιανῷ.

Τίμιε πάτερ, ἔναγχος ἐξ ὕπνου μοι γενομένῳ πόρρω νυκτῶν, ἄλλα τε πολλὰ τὸν λογισμὸν ἐκύκα, οἷα δὴ τὰ πολλὰ φιλεῖ συμβαίνειν πολλοῖς, οὐχ ἥκιστα δὲ καὶ τὸ τοῦ ἐκ Θεσσαλίας Στογγυλοῦ, ὅπως ἐπέσκωψεν ἐν οὐ καιρῷ εἰς ἄνδρα θαυμάσιον, Γεννάδιον τὸν πάνυ· μέμνησαι γὰρ δήπου πκρκινοῦντος αὐτοῦ ἐπὶ τοῦ πκναγιωτάτου πατριάρχου, οὕτω ῥηδίως τὴν τῶν νόμων προτεσθαι ἀκρίβειαν κατ' ἐκεῖνον καὶ κατάγελων οὔ τι μικρὸν κινοῦντος, ἐῴκει δὲ καὶ τι πλέον εἰπεῖν βουλόμενος, εἰ μὴ ἡ σὴ τιμιότης τοῦτον τῶν πρόσω χωρεῖν ἀπεῖρξε νεύμασί τε καὶ λόγοις τισί· καὶ χάρις γέ σοι πολλὴ τὸ ἡμῶν ἀποτίσαντι ὄφλημα, ὀφειλόντων τοῦτο πρὸ παντὸς ἑτέρου. Ζητῶν τοίνυν ὅτου χάριν οὕτως ἐμανήσθην τοῦ θείου τούτου ἀνδρός, τὴν δεινὴν ἐνενόησα νόσον τῆς κολακείας αὐτὸν κινῆσαι, συλλήπτορα ταύτην ἡγησάμενος ἔσεσθαι οἷ τοῦ ζητουμένου· οὐκ ἤσθετο δ' ὅτι πονηρῷ χρῆται συνεργῷ καὶ ὡς ἐπὶ τοιούτῳ καταλύσει καταλύματι. Εἶτα δεύτερον ἐπῆλθέ μοι ζητεῖν, εἰ ὁ μακάριος ἐκεῖνος ἑάλω ποτὲ τῆς τῶν νόμων ἀκριβείας παραλόγως τι καθυφείς, ὥστ' ἔχειν αὐτῷ περὶ τούτου τινὰ μέμφεσθαι. Εἰ μέν οὖν ἐν τοῖς πάλαι χρόνοις τοιούτου τινὸς γέγραπται, οὐκ ἔγω λέγειν· τοὐναντίον δ' ἅπαν σύνοιδα πᾶσιν, ὅτε τὰς ἑτέρων δίκας ἐτέτακτο διευθύνειν τῆς τοιαύτης ἀκριβείας, ἀσφαλῶς αὐτὸν ἀντεχόμενον, εἴη δ' ἂν ἔφην περὶ ὧν χθὲς καὶ πρώτριτα βεβούληται ὁ Θετταλὸς τῇ συνόδῳ κοινώσασθαι περί τε ἐν τοῖς γάμοις διακρίσεως καὶ τινων ἐπιτετιμημένων. Εἰ οὖν οὕτως ἔχει, τὸ μὲν ἀπεμφαῖνον τοῦ καιροῦ καὶ τοῦ τόπου καὶ τῶν παρόντων ἐκεῖσε μάλιστα διελέγχειν, μικρόν· οὐδὲ γὰρ τῆς τοῦ Στρογγυλοῦ προπετείας ἡμῖν καθικέσθαι σκοπός, τοῦ δὲ ἀμώμου φροντίσαι τοῦ ἀνδρὸς ἐκείνου χρέος ἐκτίνουσιν ἀναγκαῖον καὶ τῇ ἀληθείᾳ ἐπαμύνειν προὔργου τιθεμένοις καὶ τῷ μακαριωτάτῳ πατριάρχῃ καὶ τῇ σῇ τιμιότητι χαριουμένοις, οἷς κολακείας μὲν οὐ μέλει, εὐνοίας δὲ τῆς πρὸς ἐκεῖνον καὶ μάλα, εἰ καὶ τινες τὴν ἐναντίαν εἴλοντο. Τί τοίνυν ἕτερον τοῖς νόμοις τῆς Ἐκκλησίας

1. Ἴδε Βλαστάρεως Σύνταγμ. ἐν κεφ. ε' τοῦ Κ.

ἀπᾷδον εἶχεν ἐκεῖνος θεῖναι, ὅς γε τοσοῦτον ἀπεῖχε νομοθετεῖν, ὅς γε καὶ ἐπεὶ συμβουλεύσειν ἀπηξίωτο οὐκ ἠχθέσθη; Τοῦτο δεινόν, ὅτι τὴν Ἐκκλησίαν ἠξίου χρήσασθαι τῇ ἑαυτῆς δυνάμει εἰς σωτηρίαν πολλῶν ψυχῶν, ἃ καὶ προὔργου ποιεῖν ἀεὶ χρὴ καὶ μαθημάτων ὀλιγωρεῖν ὑπεραιρούσης παντὸς τοῦ κόσμου; Οὓς δ' ὑποθράττει τὸ μὴ μέταιρε ὅρια αἰώνια ἃ ἔθεντο οἱ πατέρες σου, ἵστωσαν ὡς οὐ περὶ γάμων εἴρηται τοῦτο, περὶ δέ γε τῶν ἄρθρων τῆς πίστεως· τριγαμίας δέ γε καὶ τετραγαμίας περὶ, οὔθ' ὁ Κύριος, οὔθ' οἱ τούτῳ φοιτήσαντές τι παρέδωκαν, ἀλλ' ὁ παλαιὸς νόμος διὰ τὴν τῶν ἀνθρώπων φησὶ σκληροκαρδίαν ἐπιτρέπει τοῖς συζυγεῖσι τὴν διάζευξιν, πορνείας ἀναφανείσης μόνον· ὁ δέ γε καινὸς τοῦ εὐαγγελίου καὶ λίαν ἐμβριθῶς *μὴ χωριζέτω, φησὶν*[1], *ἄνθρωπος* τοὺς συζυγέντας ὑπὸ Θεοῦ, καὶ μοιχᾶσθαι διορίζεται τὸν τὴν ἀπολυθεῖσαν γεγαμηκότα[2]· καὶ ὁ Ἀπόστολος τὰς νεωτέρας χήρας, δι' ἃς αὐτός φησιν αἰτίας, προτρέπει καὶ εἰς δεύτερον γάμον ἐλθεῖν[3]. Εἰ μὲν οὖν οὐκ ἐξῆν τῇ Ἐκκλησίᾳ τὰ τῶν πατέρων μεταίρειν ὅρια, τούτοις μᾶλλον ἔδει φυλάξαι τὴν τιμὴν πατρόθεν οὖσι πατέρων· ὅτι δὲ μᾶλλον ἐκ τούτων προὐτέτραπτο δεόντως τὰ περὶ τούτων ἐν καιρῷ μεταίρειν, ἔδειξεν ὅτι τὰ τούτων πρῶτον ἐκίνησεν, ἡγησαμένου Βασιλείου καὶ τινων ἑτέρων κατὰ καιρούς, διαφόρων μὲν τυχὸν ἀρετῇ καὶ σοφίᾳ, πάντων δὲ ὁμοίων τῇ ἐκκλησιαστικῇ δυνάμει καὶ ἐξουσίᾳ, οὐ τῶν ἐν τοῖς πάλαι χρόνοις ὄντων μόνον, ἀλλὰ καὶ τῶν ἐς δεῦρο τῆς Ἐκκλησίας ἡγουμένων· οὐδὲ γὰρ τὰ τοῦ Βασιλείου ἴσχυσεν ἂν ὡς τοῦ Βασιλείου ἢ ἄλλου του, ὡσαύτως εἰ μὴ καὶ τῇ Ἐκκλησίᾳ συνεδόκει. Ὁ δὲ καὶ ἐν μέρει τίθημι ὑπερβολῆς, οἱ βασιλεῖς μικροῦ τινος συμφέροντος αὐτοῖς χάριν, ὄντες ἄνθρωποι, παρὰ τὴν τοῦ Θεοῦ ψῆφον χωρίζουσιν οὓς αὐτὸς συνέζευξε, τὸ τῆς καθοσιώσεως συστέλλοντες. Πῶς οὖν εὐσεβέστατοι καὶ πιστοὶ ἐν Χριστῷ τῷ Θεῷ; ἢ πῶς οἱ παρ' αὐτῶν τεθέντες νόμοι, θεῖοι καὶ φιλευσεβεῖς; ἢ πῶς αὐτοὺς ἡ Ἐκκλησία ἐδέξατο; Τίς οὖν ἀντερεῖ μὴ τὴν Ἐκκλησίαν ἀπολελυμένην ἔχειν δύναμιν, καιροῦ καὶ πραγμάτων καὶ λόγων εὐλόγων καταναγκαζόντων, οὐχ ἥκιστα δέ, καὶ ἐν οἷς ψυχαὶ καὶ πίστις κινδυνεύουσι, νομοθετεῖν καὶ ἀντινομοθετεῖν καὶ μεταίρειν ὅρια πρότερα, οἰκονομοῦσαν καὶ μηχανωμένην τὸ ἀζήμιον τῶν ὑπ' αὐτὴν ψυχῶν καὶ τῆς πίστεως, ἀπαθῶς μέν τοι σὺν ἀδιαβλήτοις ταῖς ψήφοις καὶ παρατηρήσεσι ταῖς προσηκούσαις; Ἐγὼ δὲ μᾶλλον εἴ τις ἐστὶ τῆς καθολικῆς Ἐκκλησίας ἐξάρχων, μὴ οὕτω καὶ ἐπὶ τούτοις αὐτὴν κινῶν, παροῇ δὲ μᾶλλον ἀπόλλυσθαι ψυχικῶς οὓς ἐπιστεύθη διασώζειν, ὡς δῆθεν τοῖς τῶν προτέρων θεσπίσμασιν ἐμμένων, εὐτόνως ἂν διατεναίμην· παραδείγματι δὲ γυναστέον τὸν λόγον ἡμῖν, εἰ δοκεῖ. Δεσπότης ἐμὸς ἐγχειρίσας μοι προβάτων νομὴν ἀπῆρεν, ἐντειλάμενος ἐξάγειν ταῦτ' ἐπὶ νομὰς διὰ τῆς βορείας θύρας τοῦ θριγγοῦ, ὡς ἐνεδρευόντων ἄλλοθεν θηρίων· εἰ δὲ κἀντεῦθα τὰ θηρία παραγένοιντο καὶ κινδυνεύει παρεμπόλλυσθαι τὰ θρέμματα, ἢ λιμῷ τῷ μὴ ἐξιέναι τῷ δέει τῶν θηρίων, ἢ καταβρώσει τῶν ἐνεδρευόντων τῇ τούτων προσόδῳ, ἐξεῖναι παρανοίγειν τὸν θριγγὸν ἑτέρωθεν καὶ διασώζειν τὰ θρέμματα πρὸς τῷ καὶ πιαίνειν αὐτὰ δαψιλείᾳ τῆς νομῆς· ἐγὼ δὲ τὴν ἀπ' αὐτῶν φορὰν μόνον συγκομιζόμενος, οὔτε εἰ καλῶς νέμοιντο εἰ κακῶς ἐσκεψάμην, οὔθ' ὅπως ἀνώτερα τῆς ἀπὸ τῶν θηρίων λύμης εἶναι διὰ σπουδῆς εἰθέμην μίαν τοῦ θριγγοῦ θύραν ἔχειν πρὸς τοῦ δεσπότου σκηπτόμενος, καὶ μὴ ἐξεῖναι παρανοίγειν ἑτέρωθεν τὸν θριγγόν, οὐ δώσω δίκας τῆς ἀπωλείας τῶν θρεμμάτων, ἐλθόντος τοῦ δεσπότου καὶ τοὺς λόγους εἰσπράττοντος; καὶ τυφλῷ (κατὰ τὴν παροιμίαν) δῆλον, ἢ καὶ ἀλεκτρυαίνης εἰκὼς ἐστιν ἡμᾶς ἡττᾶσθαι τῷ μὲν σιτισμῷ τῶν νεοσσῶν τυχὸν καὶ ἀδρῷ μὴ ἀρκουμένης, εἰ μὴ καὶ ἐπισιτισμὸν μηχανήσαιτο, πρὸς δ' αἰετὸν καὶ κύνα καὶ γαλῆν ὑπὲρ αὐτῶν οὐκ ἀτόλμως παραβαλλομένης καὶ μηδὲ τῶν ἰδίων πτερύγων φειδομένης εἰς φρουρὰν καὶ περιθαλψιν. Εἰ δὲ τὴν Ἐκκλησίαν πᾶσαν εἰωθεῖαν κρίνειν τὰ περὶ τούτων καὶ διακρίνειν καὶ νομοθετεῖν καὶ ἀναπτύσσειν, καὶ ὁ μακάριος ἐκεῖνος ἔρμαιον τὴν συνδρομὴν τῶν τὴν Ἐκκλησίαν ἀναπληρούντων ἡγησάμενος, καὶ ἐγκαίρως νομίσας εἰσηγήσεσθαι τὰ δοκοῦντα οἱ συνοίσειν τῷ κοινῷ τῆς Ἐκκλησίας οὐ νομοθέτου ἀλλὰ συμβούλου τρόπον εἰσελθεῖν ἐβουλήθη, ἐξωστράκισται δὲ μὴ χαλεπήνας, ἔδειξεν ἧττον αὐτῷ μέλειν τῆς τοῦ κρύψαντος τὸ τάλαντον δίκης· τῶν γὰρ ἱερῶν ἀκούει λογίων «εἰμὴ ἦλθον καὶ ἐλάλησα αὐτοῖς ἁμαρτίαν οὐκ εἶχον»[1] λεγόντων. Μάτην ἄρα ὁ μάταιος Στρογγυλὸς πρὸς αὐτὸν ἐπέσκωψεν.

1. Ματθ. 19, 6 Μάρκ. 10, 9. Πρὸς Κορ. α', 7, 10.
2. Ματθ. 19, 9-10. Μάρκ. 10, 12.
3. Πρὸς Τιμόθ. α', 5, 14.

1. Ἰωάν. 15, 22.

8.

Κυρῷ Μανουὴλ τῷ Παλαιολόγῳ.

Τὰς σὰς ἀρετὰς ἀεί μοι θαυμάζοντι ἀμφοῖν προσηκούσας σου ταῖν εὐγενείαιν, καὶ νῦν θαυμᾶσαί σου τὴν ἐπιείκειαν θέλησον, ἄριστε πάντων καὶ εὐγενέστατε· παραιτούμενος γὰρ τάλληθῆ κατερῶ· ῥᾳθυμίας τινὸς ἔχω σου γράψασθαι νῦν, τῆς ἐπισυμβάσης ἕνεκα πρὸς Δοκειανὸν τὸν χρηστὸν ἄνδρα διαφορᾶς[1]. Ἴσμεν γὰρ ἅπαντες τὸ πρὸς τρόπου σοι πρὸς πάντας εὐμενές, μάλιστα δ' αὐτῷ δωρηθὲν δαψιλῶς, καί γε τῆς ὑπολήψεως οὐ διήμαρτες, τῶν τε τρόπων αὐτοῦ καὶ παιδείας καὶ φρονήσεως καὶ τῶν πολλῶν ἀρετῶν· τῷ δ' ἄκρῳ τῆς συνέσεως οὐδ' αὐτὸς ἀγνοεῖς τὴν ἄνευ τῆς οἰασοῦν ὑποκρίσεως εὔνοιαν αὐτοῦ, καὶ ὡς ἐμαυτὸν πείθω, οὔ ποτ' ἂν ἐξεγένετο τούτῳ, ἀλλ' ὅτι τῶν ἀπάντων τῆς εἰς σὲ πίστεως καὶ εὐνοίας διαμείψασθαι, οὐδὲ τὸν τοῦ Μίδου πάντα χρυσὸν εἰ οἷόν τε ἦν. Βασκάνου δέ τινος ἐπηρεαστοῦ τοῦτο γέγονε κατόρθωμα σκολιόν, τῇ σῇ δὲ πάντως ἐπιεικείᾳ διαφέρει τὴν διαφορὰν περιελεῖν· οὐκ ἔστι γὰρ ὅτε τῶν καλῶν οὐκ ἄρχεις αὐτός, ἀλλὰ καὶ εἰσπράττουσι τοῦτο ἥ τε τῶν εὐμενῶν καὶ ἀγαθῶν σου τρόπων ἰδιότης, ἔτι τε καὶ τῶν αὐτοῦ, οὐχ ἥκιστα δὲ καὶ τὸ τῶν ἐν τῷ παρόντι ἐπίσημον ἡμερῶν, προσθήσω δ' ὅτι καὶ ἡ ἱκετεία ἡ ἐμή. Ἔγνων δὲ τὴν διαφορὰν, τινὸς ἡγησαμένης χρείας· πυθόμενος γὰρ οὐ πρὸ πολλοῦ εἶναι παρὰ τῷ Δοκειανῷ τοῦ μακαριωτάτου πατρὸς καὶ πατριάρχου Γεννα δίου τοῦ πάνυ σύγγραμμα, τῶν ὑπὲρ λόγον γενεθλίων Χριστοῦ τοῦ Θεοῦ ἡμῶν ἕνεκα[2], μεταστειλάμενος αὐτὸν ἐφ' ᾧ τοῦτο αἰτῆσαι, τήν τε διαφορὰν ἔγνων ἐκ τούτου καὶ ὅπως εἰς τὰς σὰς ἐκεῖνο χεῖρας τὸ αἴτημα ἐπανήξειν σοι πάλιν ἐπαγγελλομένῳ.

1. Οὗτός ἐστιν ἴσως ὁ Ἰωάννης Δοκειανός, οὗ τὰ περὶ ἁλώσεως Κωνσταντινουπόλεως πραγματεύεται ὁ Hopf ἐν Chron. Grecoromanes, σ. 246-257.
2. Ἐν τοῖς ἀνεκδότοις τοῦ ἱεροῦ Σχολαρίου λόγοις καταλέγεται καὶ λόγος «εἰς τὴν κατὰ σάρκα γέννησιν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ». Ἴδε Renaudot ἐν Migne Patrol. τ. 160, σ. 288

9.

(Ἀνεπίγραφος)

Ἀποδέδωκας τῷ Ἀγχιάλῳ τὰς ἀμοιβὰς πρὸς ἀξίαν, εἴτε δ' ἐκείνου εἴτε σοῦ, εἰπεῖν οὐκ ἔχω· ἢ γὰρ αὐτὸς καλῶς συνεργάσω τὸν κατ' ἐκείνου διωγμόν, κακῶς τὴν συγχωροῦσάν σοι ψῆφον δεδωκότος, ἢ καλῶς δεδρακότος τὸ τῆς ἀχαριστίας οὐκ ἂν ἀποδράσεις ἔγκλημα. Σὺ δὲ σοφὸς ὢν σκέψαι σαυτῷ πῶς ἀντιφάσκεις, ὃς ὑπὲρ τῶν θεσμῶν τῆς Ἐκκλησίας καὶ τῶν ἱερῶν κανόνων, ὡς ἔλεγες χθὲς καὶ πρώτριτα, πάντα παθεῖν ἠρῶ· νῦν δ' ὅλας ἡνίας καθυφεὶς φέρῃ κατ' αὐτῶν, οὐκ ἔχων ὅτῳ τὴν αἰτίαν εὐλόγως περιάψεις παρά γε κριταῖς ἀψευδέσιν· Ὅμηρος γὰρ ἂν εἶπε «τὸ πλεῖον πολυάικος πολέμοιο χεῖρες αἱ σαὶ διέπουσιν»[1]· τὸ γὰρ ἑνὸν κωλύειν, ἐπιτρέπειν συνεργεῖν λογίζεται καὶ συμπράττειν τὸ κοινωνεῖν, θεσμὸς δὲ οὐδεὶς οὐδὲ κανὼν ἔξωθεν τὸν ἐπίσκοπον τῆς τιμῆς καὶ τοῦ θρόνου ἄνευ λιβέλλων, ἐλέγχων καὶ κρίσεως, κἂν φήμη τις ἐγκλήματά τινα περὶ αὐτοῦ κηρύττει. Εἰ δὲ καὶ μηδὲν τοιοῦτον, οὐδ' ἡ τυχοῦσα πρόσκλησις ἐγεγόνει πολλῷ γε μᾶλλον. Ἄλλους μὲν οὖν τινας τὰ τοιαῦτα διαπράττεσθαι, οὐδὲν ἀπεικὸς ἢ ἑκοντὶ ἀγροικίζοντας ἢ οὕτω περυκότας, σὲ δὲ τούτοις συντάττειν ἀπαξιῶ. Ταῦτ' ἄρα καὶ πολλῇ τῇ φειδοῖ τοὺς περὶ τούτου ποιοῦμαι πρὸς σὲ λόγους, οὐ γὰρ ἐλέγχων ἀλλ' εὔνους ἔχων σοι· ὅτι ταῖς σαῖς ἄχθομαι δυσφημίαις, τοῖς λόγοις τούτοις ἐχρησάμην. Εἰ δέ μοι καὶ προὔργου τὸ ἐλέγξαι ἦν, εὐτόλμως ἂν εἰργασάμην πρὸς σοφὸν τοῦτο δρῶν, πειθόμενος τῷ σοφῷ *ἐλέγξε σοφὸν φάσκοντι καὶ ἀγαπήσει σε*. Οἶσθα δὲ τοὺς σοφοὺς ἰδιώτου κακίαν εἶναι τιθεμένους τὸ πράττειν φαῦλα καὶ κολάσεως ἄξια, σοφοῦ δὲ τὸ ποιεῖν τὰ καλὰ καὶ ἐπαίνων πρόξενα· ταῖς γὰρ ἐνεργείαις τούτους χρὴ διασημαίνεσθαι, ἢ πάντα χρήματα. Τῇ σῇ δὲ ἀγχινοίᾳ μάλιστα προσήκει ταῦτα διακρίνει καὶ τίσι δεῖ σαυτὸν ἐγκρίνει, ἵνα καὶ πολλῶν αἰτιῶν σαυτὸν ἀπολύσῃς, καὶ τοῖς φίλοις τὸ συγχαίρειν σοι τῶν ἐπαίνων παράσχῃς.

1. Ἰλιάδ. Α, 165.

ΙΩΑΝΝΟΥ ΜΗΤΡΟΠΟΛΙΤΟΥ ΕΥΧΑΪΤΩΝ

ΑΓΙΟΛΟΓΙΚΗ ΣΥΓΓΡΑΦΗ.

Τὴν ἀξίαν τοῦ Ἰωάννου μητροπολίτου Εὐχαΐτων ὡς συγγραφέως καὶ ὡς πολιτικοῦ ἀνδρὸς τῆς ΙΑ' ἑκατονταετηρίδος κατάδηλον ἐποίησεν ὁ ἐπιφανὴς ἐρευνητὴς τῆς μεσαιωνικῆς ἑλληνικῆς ἱστορίας κ. Κωνσταντῖνος Σάθας, ἐκδοὺς ἐγκώμιον καὶ ἐπιστολὰς τοῦ βυζαντίου φιλοσόφου Μιχαὴλ τοῦ Ψελλοῦ[1], ἐμφαντικωτέραν δὲ κατέστησεν ἡ διὰ τοῦ Ἰωάννου Bollig καὶ τοῦ καθηγητοῦ Paul de Lagarde ἔκδοσις τῶν ἐν τῷ 676[9] κώδικι τῆς οὐατικανῆς βιβλιοθήκης διασωθέντων συγγραφῶν τοῦ σοφοῦ ἱεράρχου τῶν Εὐχαΐτων[2], ὃν, Μαυρόποδα ἐπωνυμούμενον, ἐξυμνεῖ ἡ ὀρθόδοξος καθολικὴ Ἐκκλησία ὡς παραίτιον τῆς συσταθείσης καὶ ἐτησίως γιγνομένης ἑορτῆς τῶν τριῶν μεγάλων αὐτῆς φωστήρων (Χρυσοστόμου, Βασιλείου καὶ Γρηγορίου)[3] καὶ ὡς ποιητὴν διαφόρων παρακλητικῶν κανόνων. Τοῦ σπουδαίου λοιπὸν τούτου ἐκκλησιαστικοῦ συγγραφέως εὑρὼν καταχωρίζω νῦν πρῶτον ἐνταῦθα ἀξιολογωτάτην ἁγιολογικὴν συγγραφήν, τέως ἄγνωστον[4], ἣν ἀντέγραψα ἐξ οὗ κώδικος ἐδημοσιεύθη καὶ ὁ ἐν ἀρχῇ τοῦ βιβλίου τούτου παρατεθεὶς βίος τοῦ ὁμολογητοῦ Γερμανοῦ Α', πατριάρχου Κωνσταντινουπόλεως[5]. Ἡ παροῦσα συγγραφή, ἀτελὴς δυστυχῶς περιελθοῦσα ἄχρις ἡμῶν, δύναται νὰ κριθῇ ἀξία λόγου διὰ τὰς ἀκολούθους αἰτίας· α') ἐκ τῆς ἐπιγραφῆς αὐτῆς γνωστοποιεῖται νῦν πρῶτον, ὅτι ὁ συγγραφεὺς ἐχρημάτισεν ἀρχιδιάκονος τῆς ἐν Κωνσταντινουπόλει μονῆς τοῦ ἁγίου Ἰωάννου τοῦ Προδρόμου, τῆς ἐπικεκλημένης *Πέτρας*, ἣν ἐξόχως ἐτίμων οἱ τοῦ Βυζαντίου αὐτοκράτορες· β') μαρτυρεῖ ἐπαρκῶς, ὅτι, ἐν ἐλλείψει ἐγγράφων μαρτυριῶν, οἱ τοῦ μεσαίωνος ἁγιολογικοὶ συγγραφεῖς ἐβιογράφουν, ἐπὶ τῇ βάσει παραδόσεων καὶ συγχρόνων αὐτοῖς ἀναμνήσεων, ὁσίους ἄνδρας ἀκμάσαντας ἐν χρόνοις λίαν παρῳχημένοις, τοῦθ' ὅπερ συντελεῖ τὰ μέγιστα εἰς τὴν κριτικὴν ἱστορίαν τῆς ἁγιογραφικῆς φιλολογίας· γ') προστίθησιν ἐν τῷ καταλόγῳ τῶν ὑπὸ τῆς ὀρθοδόξου Ἐκκλησίας τιμωμένων ἁγίων ἀνδρῶν ἄγνωστον τέως ὅσιον, χρηματίσαντα οὐκ ἀπιθάνως ἱδρυτὴν τῆς προσημειωθείσης μονῆς τῆς *Πέτρας*. Οὗτος δέ ἐστιν ὁ ἐγκωμιαζόμενος ὅσιος Βάρας, περὶ οὗ ὁ συγγραφεὺς λέγει ὅτι ὑπῆρχε μὲν *ἀρχαία τις βίβλος*, ἐν ᾗ ἦν ἀναγεγραμμένος ὁ βίος αὐτοῦ, ἀλλ'

1. Ἴδε Κ. Σάθα, Μεσαιων. Βιβλιοθ. τ. Α', σ. κμλ, 393, τ. Β', σ. 112-167, 273, 313, 410, 462, 465, 495.
2. Iohannis Euchait. metrop. quae in cod. Vat. graeco 676, supersunt, Gottingae, 1882. Περὶ τῆς ἐκδόσεως ταύτης ἴδε τὴν σπουδαίαν κρίσιν τοῦ κ. Σπ. Λάμπρου ἐν Deutsche Litteraturzeitung. 1883, σ. 737-739.
3. Ἴδε Νικοδήμου, Συναξαρ. τ. Α', σ. 427-429 ἐκδ. Φιλαδελφέως—καὶ πρόλογον [Π. Τανταλίδου] τοῦ βιβλίου: Ἰωάννου Εὐχαΐτων. . . . ἐγκώμιον εἰς τοὺς τρεῖς ἱεράρχας. Ἐν Κ/πόλει, 1852· ἴδε τὴν ἡμετέραν περὶ τοῦ βιβλίου τούτου σημείωσιν ἐν Μαυρογ. Βιβλιοθ. Α', 41, ἐν ὑποσημ.
4. Ἴδε Μαυρογ. Βιβλιοθ. Α', σ. ιη'.
5. Ἴδε ἀνωτέρω σ. 4 κ. ἑ. Τὴν δὲ περιγραφὴν τοῦ κώδικος ὅρα ἐν σ. 51 τῆς Μαυρογορδατείου Βιβλιοθήκης.

ὅτι *ἡ τοιαύτη βίβλος ἀπόλωλε*· τὸν δὲ ὅσιον τοῦτον οὔτ' ὁ Φαβρίκιος γινώσκει[1], οὔτ' ὁ Νικόδημος πληρέστατον συνεξαριστὴν παραφράσας καὶ ὑπομνηματίσας. Καὶ ἀληθὲς μέν ἐστιν ὅτι τὸ τοῦ ὁσίου ὄνομα λατινίζον δύναται νὰ συνταυτισθῇ τῷ Οὔαρῳ (Varus), αἰγυπτίῳ, οὗ ἡ μνήμη τελεῖται τῇ 18 ὀκτωβρίου, ἡ δὲ ἀποτομὴ τῇ 25 τοῦ αὐτοῦ μηνός[2]—ἀλλ' ὀφείλω νὰ προσθῶ ὅτι ὁ Οὔαρος οὗτος, ἀκμάσας ἐπὶ Μαξιμιανοῦ, οὐδὲν κοινὸν ἔχει πρὸς τὸν ἡμέτερον ὅσιον Βάραν, τὸν συγχρονίσαντα τοῖς ὁσίοις Παταπίῳ καὶ Ῥαβουλᾷ καί, κατ' ἀκολουθίαν, ζήσαντα ἐν τοῖς χρόνοις τῶν βασιλειῶν Ζήνωνος καὶ Ἀναστασίου τοῦ Δικόρου. δ') Ἡ παροῦσα τοῦ Μαυρόποδος συγγραφὴ συντελεῖ ἐπαρκῶς εἰς τοπογραφικὰς μελέτας περὶ Κωνσταντινουπόλεως, παρέχουσα τοῖς περὶ ταύτας εἰδικῶς ἀσχολουμένοις νέον ὑλικὸν δυνάμενον νὰ χρησιμεύσῃ ὡς ἀφορμὴ πρὸς ἀνεύρεσιν τῆς θέσεως τῆς ἅπαξ ἐν τοῖς Μηναίοις ἀναφερομένης μονῆς τοῦ Ῥαβουλᾷ, πρὸς ἐξήγησιν τῆς ἀκριβοῦς ἐννοίας τῆς θέσεως *Πόλη* τοῦ *Κυνηγοῦ*, πρὸς μελέτην μᾶλλον ἐπισταμένην τῶν ἀπὸ τοῦ Κερατίου κόλπου μέχρι τῆς πύλης τοῦ ἁγίου Ῥωμανοῦ χερσαίων τειχῶν, καὶ τέλος πρὸς ἀνακάλυψιν τῆς θέσεως διασήμου μονῆς, τῆς *Πέτρας*. Καὶ ἀληθὲς μέν ἐστιν ὅτι ὁ συγγραφεὺς οὐδαμοῦ ποιεῖται μνείαν τοῦ τῆς εἰρημένης μονῆς διακριτικοῦ τούτου ὀνόματος, ἀλλ' ἐπειδὴ ὑπόθεσιν τοῦ λόγου αὐτοῦ ἔχει τὸν βίον ὁσίου ἀνδρὸς ἀνακαλύψαντος καὶ ἀνιδρύσαντος εὐκτήριον τοῦ ἁγίου Ἰωάννου τοῦ Προδρόμου, ἐπειδὴ γινώσκεται ὅτι συνήθως οἱ ἀδελφοὶ μονῆς τινος ἐφιλοτιμοῦντο, θείῳ ζήλῳ κινούμενοι, νὰ ἐξιστορῶσι τὸ μοναχεῖον αὐτῶν διὰ τῆς ἀναγραφῆς τῶν πράξεων τοῦ κτίτορος, καὶ τέλος, ἐπειδὴ καὶ ὁ Μαυρόπους μοναχὸς καὶ ἀρχιδιάκονος ἦν μονῆς ἁγίου Ἰωάννου τοῦ Προδρόμου —ἀναμφίβολόν μοι φαίνεται, ὅτι τὸ ἐν τῇ παρούσῃ συγγραφῇ του ἱστορούμενον εὐκτήριον εἶναι ἡ βάσις τῆς μετέπειτα κληθείσης μονῆς τῆς *Πέτρας*, ἣν συγχέοντες οἱ τοπογράφοι ἐσφαλμένως τοποθετοῦσι πρὸς τὸ *Περὶ καπού*.

Σημειωτέον δὲ ὅτι ἡ ἐν τῷ 43 κώδικι γραφὴ τοῦ παρόντος ἐγκωμίου διαφέρει ὀλίγον τῆς τῶν λοιπῶν ἐν αὐτῷ κειμένων· τὸ ὑπογεγραμμένον δὲ ι ὀλιγάκις ἀπαντᾷ, ἐνιαχοῦ δὲ διακρίνονται καί τινες ἀνορθογραφίαι, ἄλλως ἀσήμαντοι· σύνθετοι δὲ λέξεις ἀσυνήθεις ἡμῖν ἀπαντῶσιν αἱ ἑξῆς, διαπαντὸς (πολλάκις) ἐξέτι, ἀποκυκλοῦς, ἐπιπλέον, τοιαυτοῦδε, ἐξότου, ταπρόσω, ὡσπερεὶ τισιν, παραπόδας, καθεκάστην, διατοῦτο, παντοπόθητον, τοτηνικάδε. Τὰ τελευταῖα δὲ τοῦ κώδικος φύλλα ἐλλείπουσιν, ἐκπεσόντα, ὡς φαίνεται, παλαιόθεν.

1. Bibliotheca Graeca, X, ed. Harless.
2. Νικοδήμου, Συναξαρ. τόμ. Α', σ. 142, 160.

ΙΩΑΝΝΟΥ ΜΟΝΑΧΟΥ ΚΑΙ ΑΡΧΙΔΙΑΚΟΝΟΥ

τῆς καθ' ἡμᾶς ταύτης σεβασμίας μονῆς τῆς εἰς ὄνομα τιμωμένης τοῦ τιμίου ἐνδόξου προφήτου Προδρόμου καὶ βαπτιστοῦ Ἰωάννου καὶ Πέτρας ἐπικεκλημένης, τοῦ Μαυροπόδου,

ΕΓΚΩΜΙΟΝ ΕΙΣ[1] ΤΟΝ ΟΣΙΟΝ ΚΑΙ ΘΕΟΦΟΡΟΝ ΠΑΤΕΡΑ ΗΜΩΝ ΒΑΡΑΝ.

§ 1. Τὰ τῶν φιλοθέων ἀνδρῶν διηγήματα εἴωθε μὲν τῷ λόγῳ τῆς διηγήσεως καὶ τὰς τῶν ἀκροωμένων κατευφραίνειν ψυχάς, πέφυκε δέ πως καὶ ζῆλου κέντρον ἐνιέναι τοῖς φιλαρέτοις καὶ σπουδαιοτέρους αὐτοὺς ἀπεργάζεσθαι πρὸς τὴν τοῦ καλοῦ μετοχείρισιν, ἅτε δὴ πρὸς μίμησιν ἐρεθίζειν δυνάμενα· οὕτω γὰρ ὁ τῶν ἀνθρώπων βίος ὡς πρὸς ἀρχέτυπα τῶν ἀνδραγαθημάτων ὁρῶν κατορθώματα, πρὸς τὸ βέλτιον ὡς δυνατὸν μεταπλάττεται καὶ κατὰ μικρὸν μεταμορφοῦται τὴν ἐν Χριστῷ μεταμόρφωσιν· τῆς γὰρ ἀρετῆς ἑκάστοτε φανερούσης τὰ τῶν οἰκείων ἀριστείων ἀνδραγαθήματα καὶ στεφάνῳ θείας δόξης κατακοσμούσης τοὺς αὐτὴν ἀγαπήσαντας, καὶ οἱ νωθέστερον περὶ τὰ καλὰ διακείμενοι, πρὸς ζῆλον ὅμως ὀψέποτε παραθήγονται, ταῖς περὶ αὐτῶν θαυμασταῖς διηγήσεσι πρὸς τοῦτο διανιστώμενοι. Ὅθεν οὐδὲ τὸν ἀσκητικοῖς ἐνιδρώσαντα πόνοις καὶ θαυμάτων χάρισι διαλάμψαντα Βάραν τὸν ἀξιάγαστον παροπτέον ἀγέραστον, οὐδὲ τὰ κατ' αὐτὸν σιγῇ παραδραμεῖν εὐπρεπές, ὅσα τε τῷ βίῳ περιῶν ἐξειργάσατο καὶ οἵας μετὰ θάνατον ἀμοιβῆς κατηξίωτο, ἀλλ' οἷς ἔχομεν ἀποδοτέον αὐτοῖς τὰ τῆς πανηγύρεως, εἰ καὶ μὴ προπομπαῖς ἀσμάτων καὶ κρότοις λόγων καὶ οἷς τὸ τῶν ἐπαίνων φιλότιμον εἴωθεν ἀπαρτίζεσθαι. Ἀλλ' ὅμως ἐγκωμιαστέον αὐτὸν ἐκ τῆς κατ' αὐτὸν διηγήσεως· οἶμαι γὰρ αὐτόν τε μᾶλλον οὕτωσι εὐφρανθήσεσθαι, τοῖς οἰκείοις σεμνολογήμασιν ὡς εἰκὼς ἐγκαλλωπιζόμενον, καὶ μέν τοι καὶ τοὺς ἀκροωμένους πάντως ὠφεληθήσεσθαι τῷ κατ' αὐτὸν προσέχοντας διηγήματι. Ὡς γὰρ οὐκ ἔστι λύχνον ὑπὸ τὸν μόδιον κρύπτεσθαι, ἀλλ' ἐν ἀπόπτῳ μᾶλλον καὶ μεσαιτάτῳ τόπῳ τῆς οἰκίας προτίθεσθαι[2] ἐπὶ τῷ πᾶσι τοῖς ἐν αὐτῇ τὰς οἰκείας φαύσεις ἀπαρεμποδίστως προτίεσθαι, οὕτως οὐδὲ βίους ἐναρέτους καὶ αὐτῇ τῇ τῶν Ἀγγέλων ἐξεταζομένους διαγωγῇ σιωπῇ συγκαλύπτεσθαι, ἀλλὰ πανταχοῦ καὶ φανεροῦσθαι καὶ ἐκθειάζεσθαι· τοῦτο γὰρ καὶ Θεὸν προξενεῖ δοξάζεσθαι κατὰ τὸ ἀκόλουθον, καὶ τὰς θεοφιλεῖς ψυχὰς ὡς δυνατὸν ἐκτυποῦσθαι παρασκευάζει πρὸς βίου κρείττονος ἐξομοίωσιν. Ἀλλὰ δήπου καὶ τὸ τῆς εὐνοίας ἡμῶν ὑπερφαίνει δοκίμιον, ἢ πρὸς τὸν κοινὸν Δεσπότην ἔχειν ὀφείλομεν τὸ τοῖς ἀξίοις τῶν ὁμοδούλων (ὡς οἷόν τε) τὰς τῶν ἐγκωμίων ἀφοσιοῦν ἀμοιβὰς καὶ τῇ θείᾳ μνήμῃ τούτων εὐφραίνεσθαι, οἱονεὶ κοινωνεῖν αὐτοῖς καὶ τῶν πόνων καὶ τῶν κατορθωμάτων ἐφιεμένους· *ἐγκωμιαζομένου* γάρ φησι *δικαίου εὐφρανθήσονται λαοί*, εὐφραίνεσθαι δὲ πάντως ἔπεισι πάντας ἐν ταῖς τῶν φιλοθέων ἀνδρῶν διηγήσεσι, καὶ μάλιστα τοὺς εὐσεβῶς προῃρημένους διαβιοῦν, ὅταν ἄνθρωπον σώματος ἀσθενείᾳ συνεζευγμένον καὶ φυσικοῖς ὑποκείμενον πάθεσι τῶν ὑπὲρ φύσιν κατατολμῶντα μανθάνωσι καὶ τοῖς πνευματικοῖς τῆς πονηρίας εὐζώνως ἀντιμαχόμενον, καὶ τέλος κατατροπούμενον τὴν αὐτῶν μισάνθρωπον ἀγριότητα. Ὅθεν καὶ διπλοῦν ἐντεῦθεν κέρδος ἐπιγίνεται τοῖς ἀκούουσιν· τῷ τε γὰρ βασιλεῖ τῶν ἁπάντων ᾄδουσι χαριστήρια, ὡς τὴν κατὰ τῶν δαιμόνων νίκην τοῖς αὐτῶν ὁμοδούλοις ἐπευδοκήσαντι, καὶ αὐτοὶ δὲ κρείττους ἑαυτῶν πολλάκις γεγόνασι πρὸς ζῆλον τοῦ καλοῦ ἑαυτοὺς διεγείροντες. Καὶ τίς γὰρ μὴ θαυμάσειε τὴν τοῦ Θεοῦ ἀγαθότητα, ὅτι τὴν ἀσθένειαν ἡμῶν τοιαῦτα κατορθοῦν ἐδυνάμωσεν, ὡς καὶ αὐτῆς κατεπαίρεσθαι τῆς τῶν δαιμόνων δυσμενείας τε καὶ σκαιότητος; τίς δὲ τὰ τῶν ἀγαθῶν ἀνδρῶν κατορθώματα βαλλόμενος ἐπὶ νοῦν καὶ λογισάμενος ὡς οὐκ ἐκ φυσικῆς τινος ἰσχύος ἀλλ' ἐκ τῆς ἄνω συμμαχίας ταῖς κατὰ δαιμόνων ἀριστείαις ἐθαυμαστώθησαν, οὐκ ἂν δικαιοῖ τοῖς φιλαρέτοις διὰ μνήμης συνετηρήθησαν καὶ ταῖς ἡμετέραις παρεπέμφθησαν ἀκοαῖς, γραφῇ παραδοθῆναι δεῖν ἔγνωμεν.

§ 2. Οὗτος τοιγαροῦν ὁ μακάριος καθὼς ὁ λόγος φθάσας ἐδήλωσεν, ἐγγράφως μὲν οὔπω καὶ τήμερον εὕρηται, οὔτε ποίας χώρας ἐξώρμητο, οὔτε μὴν ὁποίους τοὺς τεκόντας ἐγνώρισε· παλαιὰ δέ τις παράδοσις ἄγραφος, τὸ τῆς ἀληθείας ἀσφαλὲς καθ' ἑαυτὴν τῇ ἀρχαιότητι συντηρήσασα, μέχρι καὶ ἐς ἡμᾶς διαδέδοται ἐξ Αἰγύπτου τε προϊέναι τὸν μέγαν, κἀκεῖθεν ἐσχηκέναι καὶ τοὺς γεννήτορας, καὶ ὅτι πρὸς τοὺς ἀσκητικοὺς ἀγῶνας ἑαυτὸν ἀρχῆθεν ἐξέδοτο καὶ τῆς ἐρήμου τὸ ἀπαράκλητον ἐξ ἔτι νεαζούσης τῆς ἡλικίας καὶ σφριγῶντος σώματος καὶ πρὸς τὰ τῆς ψυχῆς ἀντισκιρτῶντος βουλεύματα· ὁπότε δὴ καὶ Πατάπιος ὁ θεῖος καὶ Ῥαβουλᾶς ὁ θεόληπτος τὴν ἀγγελικὴν καὶ αὐτοὶ πολιτείαν διεξιόντες καὶ ταῖς ἐρήμοις ἐγκυλιόμενοι τοῖς πᾶσι διὰ θαύματος ἤγοντο, τὴν αὐτὴν τῷ θεσπεσίῳ Βάρᾳ καὶ αὐτοὶ πατρίδα συγκληρωσάμενοι· ἔδει γὰρ τὴν Αἴγυπτον ἄνωθεν κἀκεῖθεν ἁγιασθεῖσαν τῇ σωματικῇ τοῦ Σωτῆρος ἐπιδημίᾳ, ὁπηνίκα αὐτὴν αὐτὸς ὁ Κύριος ἔτι νήπιος ὢν ἐκ Βηθλεὲμ ἀπεδίδρασκε, τοιαύταις ἀμοιβαῖς καὶ τοιούτοις ἁγιάσαι καρπώμασι τὸν αὐτὴν ἁγιάσαντα, καὶ τοιαύτας ἀντεισαγαγεῖν τῷ Δεσπότῃ τὰς χάριτας, ψυχὰς ἁγίας καὶ καθαρὰς καὶ μηδὲν ἀποδεούσας τῆς τῶν ἀγγέλων ἀκεραιότητος. Καὶ μέντοι καὶ ἀντεισήγαγε τοῦ τοιούτου ἁγιασμοῦ ὁλοκαυτώματα τέλεια καὶ Θεῷ μόνῳ πρέποντα πολλοὺς μὲν ἄλλους, οὓς περ ἡ πρὶν φαμιζομένη βραδύτοκος αὕτη μεγάλους μετὰ ταῦτα καὶ συνεχεῖς ἀπεγέννησε, τοὺς περὶ Παχώμιόν φημι καὶ Μακάριον, Μάρκον τε καὶ Ἀρσένιον, καὶ τὰ λοιπὰ τῆς κτίσεως ὑπερφυᾶ καὶ θεῖα σεμνολογήματα, καὶ ὧν τὴν πολυώνυμον ἀπαρίθμησιν οὐδὲ λόγῳ περιλαβεῖν δυνατόν. Οὐχ ἧττον αὕτη προῆκατο καὶ Πατάπιον τὸν θεσπέσιον καὶ Ῥαβουλᾶν τὸν θεόληπτον[1], ἄνδρας βίῳ μὲν καθόλου προσκειμένους θεοπρεπεῖ, ἀλλὰ καὶ θαυμάτων χάρισι διαλάμψαντας, οἵ γε δὴ καὶ κατ' ἐκεῖνο καιροῦ γνωριζόμενοι, καθ' ὃν καὶ Βάρας ὁ ἀξιάγαστος, ἄλλος ἄλλοθεν ὡς ἀπὸ κυκλικῆς τινος περιφερείας τῆς τοῦ κόσμου περιαγωγῆς τὰς εὐθείας ἑαυτῶν καρδίας πρὸς ἓν τι κέντρον τὴν ἀρετὴν ἀπευθύναντες, πρὸς βίου νασταίᾳ πρὸς μίμησιν, κἂν μακρὰν ὑπολαμβάνῃ τεθήσεσθαι τῆς ἐκείνων ἀκρότητος; Τὸ μὲν γὰρ εἰς καμάτους ἀρετῆς ἑαυτόν τινα κατενεγκεῖν καὶ τοῖς ἱδρῶσιν ἐγκονίζεσθαι τῆς ἀσκήσεως, σύμβουλον θεοφιλοῦς ἐστι προαιρέσεως, τὸ δὲ κατορθῶσαι τὰ τῆς προθέσεως ὡς πρὸς ἐπίδοσιν[1] προβῆναι τὴν ἀρετὴν καὶ μέχρι περ ἕως ταύτῃ τὸν σπουδαῖον ἐπαγωνίσασθαι, αὐτῆς τε κατεξαναστάντα τῆς φύσεως καὶ τῆς τῶν δαιμόνων μηχανῆς καταφρυαξάμενον, τῆς διὰ παντὸς περιεπούσης τοὺς κάμνοντας τοῦ παναγίου Πνεύματος ἐνεργείας τεκμήριον· ἢν δῆτα καταπλουτήσας ὁ θεσπέσιος οὗτος ἀνὴρ καὶ τοῦ Θεοῦ ὄντως ἄνθρωπος, τὰ μὲν φυσικὰ θελήματα τέλεον καθυπέταξεν, ἅ τε καὶ μᾶλλον εἴωθεν ἐπιπροσθεῖν τῇ ψυχῇ πρὸς ὑποδοχὴν τῶν θείων ἐλλάμψεων, ἀλλὰ καὶ ἅπερ τῷ σώματι παράπαν ἐπιφορτίζεσθαι πέφυκε πάγκρατιάζοντι πρὸς τὴν ἄσκησιν· τὰς δὲ τῶν δαιμόνων ἀντιθέσεις ἐς τοσοῦτον κατετροπώσατο, ὡς ἐν ἑκστάσει διακόψαι τὰς αὐτῶν κεφαλὰς τῇ παντευχίᾳ τοῦ Πνεύματος· ὃν εἴ γε τάχα τοῖς ἐκ λόγων ἐγκωμίοις βουληθείημεν ἐκθειάσαι καὶ τοῖς ἐπαίνοις αὐτοῦ προσβαλεῖν λογογραφικώτερον, λάθοιμεν ἂν δυσεφίκτοις ἐπιχειροῦντες καὶ οἷον εἰς ἀγῶνα καθιέντες ἑαυτοὺς δυσκατόρθωτον, ὅτι μηδὲ κατὰ ἄνθρωπον ὁ βίος αὐτῷ, ἵνα καὶ ἀνθρωπίνοις ἐπαίνοις ἐγκαλλωπίζοιτο, ἀλλ' ἀγγελικός[2] τις ὅλος καὶ ἀπαράμιλλος καὶ θεϊκῶν ἐπαίνων ὄντως ἐπάξιος. Πλὴν ἀλλὰ καὶ οὗτος οὐκ ὀκνητέον τὴν ἐπιχείρησιν, ἀλλὰ λόγων ἁπλότητι καὶ συνοπτικωτέρᾳ φράσει διηγητέον τὰ κατ' αὐτόν· κἂν τὰ πλείω τῆς ἀγγελικῆς αὐτοῦ πολιτείας παρεκθεῖη ἀνεκδιήγητα, συγγνώσεται πάντως ἡμῖν· οὐ γὰρ ἐξ ἡμετέρας ῥαθυμίας τὸ αἴτιον, ἀλλ' ἔκ τινος τυχαίας συμβάσεως; οἵας δὴ πολλάκις ἡ φορὰ τῶν χρόνων τῷ βίῳ τούτων ἐναποκύειν ἔθος παρείληφεν. Εἶχε μέν γάρ, ὡς λόγος ἤδη, ἀρχαία τις βίβλος ἀνάγραπτα ὅσα τε περὶ τὸ γένος προσῆκε τῷ μακαρίῳ καὶ οἵους ἔσχηκε τοὺς γεννήτορας, οἵας τε πατρίδος ἐξέφυ καὶ ὅσα γε παρὰ τῶν φυσάντων ἐσπούδαστο περὶ αὐτὸν τὰ τῆς ἀγωγῆς καὶ παιδεύσεως, πλὴν ὅ τι περ οὕτω συμβάν, οἷα δὴ κατὰ τὸν βίον πολλάκις εἴωθε γίνεσθαι, ἡ τοιαύτη βίβλος ἀπόλωλε καὶ λήθης βυθοῖς ὅσον ἤδη τὰ τοῦ πατρὸς ὑπενεχθῆναι συνέβαινε· τούτου χάριν ὁπόσα τῶν αὐτοῦ μέχρι καὶ σήμερον τοῖς φιλαρέτοις διὰ μνήμης συνετηρήθησαν καὶ ταῖς ἡμετέραις παρεπέμφθησαν ἀκοαῖς, γραφῇ παραδοθῆναι δεῖν ἔγνωμεν.

1. Ἐν τῷ κώδικι· ἐς
2. Ματθ. 5, 15. Πρβλ. Μάρκου 4, 21. Λουκ. 11, 33.

1. Ἐν τῷ κώδικι· ἐπίδοσινν.
2. Ἐν τῷ κώδικι· ἀνγελικός.

1. Ὁ ὅσιος Ῥαβουλᾶς, οὗ ἡ μνήμη τελεῖται τῇ 19 φεβρουαρίου, ἦν ἐκ Σαμοσάτων τῆς Συρίας. Ὁ Συναξαριστὴς (ἐκδ. Νικοδήμου) ἀγνοεῖ τὴν ἐξ Αἰγύπτου καταγωγὴν ἢ τὴν ἐν Αἰγύπτῳ διαμονὴν αὐτοῦ,

μίαν ἀπηυτομόλησαν αἵρεσιν, τάς τε πόλεις καταλιπόντες καὶ τὰς ἐρήμους οἰκήσαντες, τά τε δυσχερῆ τῆς ἀσκήσεως ὁλοψύχως ἀναδεξάμενοι καὶ τὸν κατὰ δαιμόνων ἀνδρικῶς ἀναζωσάμενοι πόλεμον, καὶ κοινῇ μὲν ταῦτα διασκεψάμενοι, ἀλλ' ἰδίᾳ καὶ καθ' ἑαυτὸν ἕκαστος πρὸς τὴν στενὴν καὶ τεθλιμμένην ἑαυτοὺς ἐκδεδωκότες διαγωγὴν καὶ ἄλλος ἀλλαχοῦ που τὰς διατριβὰς αὐτῶν σχεδιάσαντες, ἄσμενοί τε τῇ φίλῃ προστετηκότες ἡσυχίᾳ καὶ ἀναβάσεις ἐν καρδίᾳ τιθέμενοι, μόνοι τε κατὰ μόνας τῷ Θεῷ προσδιαλεγόμενοι, τῷ ἀπὸ ὀλιγοψυχίας αὐτοὺς καὶ τῆς τῶν πονηρῶν πνευμάτων καταιγίδος διὰ παντὸς διασώζοντι, καὶ κούφως οὕτως τὴν τοῦ βίου θάλασσαν ὑπερπλεῖν αὐτοὺς ἐνισχύοντι. Ὅθεν καὶ πολλοὺς ἐν ταύτῃ διαμείψαντες χρόνους καὶ τοῖς κατ'αὐτὴν ἱδρῶσιν εὐπόνως ἐγγυμνασάμενοι πρὸς τὸ τῆς ἀρετῆς ἀκρότατον ἐληλάκασι, τοσοῦτον ἑαυτοὺς τῶν κάτω μετεωρίσαντες ὡς διόλου τῷ Θεῷ συγγίνεσθαι μετὰ σώματος. Ἐπεὶ δ' οὐκ ἦν ἐπὶ μακρῷ τὴν ἀρετὴν αὐτῶν ἀγνοίᾳ κατακαλύπτεσθαι, ὅτι μηδὲ ἥλιον νέφει διηνεκεῖ συσκιάζεσθαι, ἀψευδὴς γὰρ ὁ τοὺς δοξάζοντας αὐτὸν δοξάζειν καθυποσχόμενος, ἀλλ'ἔδει πάντως καταφανῆ ποτε γενέσθαι τὰ κατ' αὐτοὺς ἵνα καὶ Θεὸς δοξασθῇ καὶ τοῖς φιλαρέτοις προτεθῶσιν εἰς μίμησιν, λογισμός τις αὐτοὺς εἰσῄει δυσκάθεκτος καὶ πολὺν αὐτοῖς ἀνῆψε τὸν τῆς καρδίας φλογμὸν τὴν Κωνσταντίνου θεάσασθαι. Ἦν δ' ἄρα τοῦτο τῆς ἄνω τοιαθείσης τεκμήριον, ὥστε καὶ ἄλλοις ὑποτύπωσιν αὐτοὺς γενέσθαι καὶ κανόνα τῆς πρὸς σωτηρίαν κρείττω μεταβολῆς, οἷς περ ἄρα ἐντύχοιεν, καὶ σωτηρίας πρόφασιν τὸν βίον αὐτῶν προτεθῆναι τοῖς γε δὴ καὶ μᾶλλον τὴν γνώμην κεκτημένοις ἐπιῤῥεπῆ πρὸς ἀντίληψιν ἀρετῆς. Θαῦμα γὰρ ἦν ἰδεῖν τὸ τοῖς θείοις πατράσι τηνικάδε συνεισπεσόν, οὐ μικροψύχως ξενίζον καρδίας καὶ μετριῄφρονας ἀλλὰ καὶ μεγάλων ψυχῶν καθιξνούμενον, ἄνδρας ἀπὸ μακρῶν τῶν χρόνων ἐπανῃρημένους τὴν μονίαν καὶ τὸ τοῖς ἀνθρώποις ἀγνοεῖσθαι παντάπασι, τήν τε φίλην ἡσυχίαν ἀρχῆθεν ὁλοσχερῶς ἀγαπήσαντας καὶ πρὸς τὰ τοῦ ἀγροῦ θηρία τὸ τῶν ἀνθρώπων μεταθεμένους κοινωνικόν, οὕτω ἀθρόως ἐπανελέσθαι τῆς ἐρημίας ἀστικὰς διατριβὰς ἀνασπάσασθαι, ὡς μηδὲ βαρύ τι ὑποφέρειν τὴν ἀπ' ἐκείνης μετάβασιν. Τῆς γὰρ τοιαύτης προθέσεως ὁλικῶς ἑαυτοὺς ἐξαρτήσαντες καὶ μηδὲ κατασχεῖν σφᾶς αὐτοὺς ἐπὶ πλέον ἰσχύοντες, θεία γάρ τις βούλησις ὡς προλέλεκται τὰς καρδίας αὐτῶν ἀνηρέθιζεν, ὡς οὐδ' ἀνεκτὸν αὐτοῖς ἐδόκει μὴ καὶ πράγμασι τὰ τῆς γνώμης ἀποπερᾶναι καὶ τέλος ἐπενεγκεῖν τοῖς βουλεύμασιν. Ἐντεῦθεν τὴν ἐρημικὴν διαγωγὴν ἄλλος ἄλλοσε καταλείψαντες, κἀκεῖθεν ἀπαναστάντες, Θεῷ ἑαυτοὺς καὶ τῷ πρὸς τὴν ἡδονὴν καμάτῳ φέροντες ἐκδεδώκασιν. Ἦν δ' ἄνωθεν συνευδοκῶν αὐτοῖς καὶ οἷον εὐμαρῆ τὴν τρίβον καταρτιζόμενος ὁ καὶ τὸν τοιοῦτον λογισμὸν αὐτοῖς ἐνιείς καὶ ταῖς ψυχαῖς αὐτῶν ἐνσκήψας τὴν ἐξ Αἰγύπτου μετάστασιν· ὃς καὶ τῷ Ἀβραὰμ ποτε μεταναστεῦσαι τῆς πατρῴας γῆς ἐχρημάτισε, καὶ τὸν Ἰακὼβ δὲ πάλιν τὴν Ἠσαῦ κακίαν ἀποδιδράσκοντα, ὑποσχέσει τοῦ μὴ ἀνεῖναι τοῦτον μηδ' ἐγκαταλιπεῖν, ἀνέῤῥωσέ τε καὶ ἀνεθάῤῥυνεν. Οὗτος καὶ τούτοις τὸ φίλον ἔδαφος τὴν ἔρημον καταλείπουσι κούφως φέρειν καὶ λίαν ὁμαλῶς ἐνεποίησεν, ὡς θείῳ συνεγνωκῶσι διακονεῖν ἐπιτάγματι· εἴ γε τοσοῦτον τῆς φίλης ἡσυχίας ἐξείχοντο, ὡς ἑτοίμως ἂν ἑλέσθαι καὶ αὐτὸ προέσθαι τὸ ζῆν ἢ τῆς ἐξ αὐτῆς ἀφορισθῆναι γλυκύτητος.

§ 3. Ἐκεῖθεν τοίνυν ὁρμήσαντες τὸν τῆς ὁδοιπορίας πόνον διῆκεν ἕκαστος, ἐφέσει τοῦ ποθουμένου πρὸς τοῦτο παρακροτούμενοι. Εἶτα τί γίνεται; Θεὸς ἄνωθεν ὁ καὶ τῷ εὐλαβεῖ ποτε Κορνηλίῳ καταμηνύσας τῇ παραλίῳ Ἰόππῃ τὸν Πέτρον ἐνδιατριβόντα καὶ δι' αὐτοῦ τὰ πρὸς σωτηρίαν αὐτῷ γενήσεσθαι ὑποσημηνάμενος, ὁ καὶ τῷ θαυμασίῳ πάλαι Κανδάκῃ παρόδιον ἀγαθὸν ἀναγνώρισμα τὸν φιλόπιστον Φίλιππον, ὁ καὶ[1] τοῖς περὶ Κλεώπαν αἰφνιδίον ποτε καθ' ὁδὸν προσενωθεῖς καὶ συμπορευόμενος καὶ ἑαυτὸν ἀποκαλύψας ἀνέλπιστα, αὐτὸς καὶ τούτους ὁδεύοντας προσενωθῆναι πεποίηκε, καὶ οὕτω πρὸς ἀλλήλους ἀποκαλύψαι τίνι τε λόγῳ τὰ τῆς πορείας πεποίηνται καὶ ὅποι τὰ τῆς ὁρμῆς αὐτοῖς ἀφορᾷ. Ἐπεὶ δὲ τὰ τῆς βουλῆς αὐτῶν ἀπεγύμνωσαν ἕκαστος καὶ ὅθεν ἐξώρμηντο καὶ ὅπου παρεκινήθησαν, θείαν τινὰ καθ' ἑαυτοὺς τὴν τοιαύτην ὑπειληφότες συνέλευσιν, εὐθύμως ἔκτοτε μᾶλλον περὶ τὴν ἐπὶ ξένης διετέθησαν πάροδον. Καὶ δὴ τὰ τῆς προθέσεως αὐτῶν πρὸς μίαν σύμπνοιαν συμβιβασάντων τῷ πρὸς ἀλλήλους συγκροτησμῷ, μεγάλως πρὸς τὰ θλιβερὰ τῆς ξενιτείας καὶ αὐτὸν δὴ τὸν τῆς ὁδοιπορίας ὑπεστηρίζοντο κάματον, πολλὰς μὲν ψυχὰς ὡς ἀπὸ πλάνης πρὸς τὴν ἀλήθειαν ἐπιστρέφοντες, πολλοὺς δὲ καὶ τῆς τοῦ κόσμου ματαιότητος πρὸς τὴν κατὰ Θεὸν διαγωγὴν

1. Ἐν τῷ κώδικι κλ.

μεθιστῶντες καὶ τῷ ζυγῷ Κυρίου ὑπεμβιβάζοντες, πολὺν δὲ καὶ φορυτὸν ἁμαρτημάτων ἐξ ἀνθρώπων ἐν τῷ διεξίεσθαι παρασύροντες, τὰς καρδίας αὐτῶν ἐξ ἀπονοίας ἐπικαλύπτοντα καὶ πρὸς τὸ τῆς μετανοίας διαβλέψαι φῶς καθόλου παρεμποδίζοντα, καὶ ταῖς κατηχητικαῖς διεξόδοις τῶν παρακινέσεων καὶ τοῖς τῶν λόγων ὁρμήμασιν ἐκκαθαίροντες, οἷά τινες προχοαὶ ποταμῶν ἐκ διαφόρων ἀναδεδόμεναι βρύσεων, εἶτα πρὸς μίαν εἰσροὴν τὰ ἑαυτῶν ὁρμήματα συστρέφουσαί τε καὶ συνεισβάλλουσαι καὶ πάντα συρφετώδη χῶρον ἀντιπίπτοντα τῷ ἀθρόῳ τῆς προχοῆς ἐξανασπῶσαι καὶ συγκαθέλκουσαι καὶ τὸν τόπον τῆς ἐπικειμένης αὐτῷ σαπρίας ἀποκαθαίρουσαι. Ἐντεῦθεν πόλεις ἐκ πόλεων παραμειβόντες καὶ χώρας ἀλλογλώσσους ἄλλας ἄλλοτε διοδεύοντες, Ἀλφειός τις ἦσαν τὴν τοῦ κόσμου θάλασσαν διατέμνοντες καὶ τῆς ἅλμης αὐτῆς μηδέν τι μηδαμόθεν παραδεχόμενοι, ἀλλ' εἰς ἑαυτοὺς συνάγοντες πάντοτε τὰ ἑαυτῶν διαβήματα καὶ ταύτης διασώζοντες ἀνεπίμικτα τῷ ἔρωτι τῆς πρὸς Θεὸν ἀγαπήσεως, ἥ, καθάπερ ζῶον (ὃ λέγεται) τῷ πυρὶ φυσικῶς πως ἀντιμαχόμενον, σύμπαντα κατασβεννύντες τὰ τῶν ὀρέξεων ὑπεκκαύματα τῇ ἀντιπαθείᾳ τῆς συνήθους ἐγκρατείας καὶ τῇ δυνάμει τῆς ἄνωθεν χάριτος· καὶ γὰρ εἶχον ὡς ἀληθῶς τὸν ὑψόθεν αὐτοῖς ἐπανάγοντα, τὸν δυσὶν ἢ τρισὶν ἐν τῷ αὐτοῦ συνειλεγμένοις ὀνόματι συνεῖναι καθυποσχόμενον[1], τοὺς πόδας μὲν αὐτῶν ὡσεὶ ἐλάφου καταρτιζόμενον, ὥστε παντοίας θηρευόντων παγίδος καὶ μηχανῆς ὑπεράλλεσθαι καὶ πρὸς τὰ ὑψηλὰ τῆς ἀπαθείας καθίστασθαι, τὰς χεῖρας δὲ εἰς παράταξιν ἐκδιδάσκοντα, ὥστε τῇ σταυρικῇ αὐτῶν ἐκτάσει μυριόλεκτον ἐχθρῶν κατατροποῦσθαι παράταξιν, ἀμωμόν τε τὴν ὁδὸν αὐτῶν πανταχοῦ κατευθύνοντα καὶ τὸ φῶς τῆς αὐτῶν ἀγγελικῆς[2] διαγωγῆς τῶν ἀνθρώπων πάντων ἐπίπροσθεν διὰ παντὸς αἰθριάζοντα.

§ 4. Μετὰ τὰς μακρὰς τοιγαροῦν ἐκείνας περιόδους, ἃς διενεγκεῖν αὐτοῖς ἐξεγένετο ἔρωτι τῆς μεγαλοπόλεως, τέλος καὶ ταύτην ἰδεῖν καταξιωθέντες καὶ τῶν μεγάλων ἐκείνων καμάτων ἀνέντες ἐπὶ μακρόν, εἶτα καὶ τοῖς περὶ αὐτὴν θεάμασι τὸν ὀφθαλμὸν ἐπιτρέψαντες τοσοῦτον ὅσον καὶ τῇ ὄψει μικρόν τι χαρίσασθαι τῷ Θεῷ μεγάλως καθωμολόγουν τὰς χάριτας, τό τε τῆς ὁδοιπορίας ἐπαχθὲς αὐτοῖς ἐκκουφίσαντι καὶ τὰ τῆς ἐφέσεως ἐκπληρώσαντι. Ἐπεὶ δὲ τῆς προτέρας ἀναμνησθῆναι βιοτῆς καὶ πάλιν ἐπῆλθεν αὐτοῖς, οὐκ ἐπὶ πλέον δήπου ἠνέσχοντο ἀστικαῖς ἐνδιατρίβειν ἀναστροφαῖς, ἀλλ' ἡσυχῇ τὸ λεῖπον διανύσαι τῆς αὐτῶν ζωῆς ἕκαστος καθ' ἑαυτὸν διεσκέψαντο. Ἐντὸς περὶ αὐτὴν που τὴν μεγαλόπολιν τὰς ἀσκητικὰς αὐτῶν ἐπαύλεις καταπῆξαι συμβουλευσάμενοι, ὑπὸ τῆς θείας χάριτος πρὸς τοῦτο πάντως συγκινηθέντες, καὶ μιᾶς καὶ τῆς αὐτῆς γεγονότες προθέσεως ἵνα καὶ Θεὸς ἐπὶ τούτοις μεγαλυνθῇ, καὶ οἱ ἐν αὐτῇ δὲ κατοικοῦντες, οἷς τισι καὶ μάλιστα μετῆν ἀρετῆς, ἐντεῦθεν πρὸς τὴν τοῦ καλοῦ διαναστῶσιν ἐκθυμοτέρως ἀντίληψιν. Διαδραμόντες τοιγαροῦν τὴν πόλιν ἅπασαν ἐπισκεπτικώτερον, καὶ πολλαχοῦ τῶν ταύτης μερῶν συνιδόντες θεσπέσιόν τι χρῆμα καθεστηκυῖαν αὐτὴν καὶ πρὸς ἡσυχίαν ἐπικαιρότατον, τὸ πρὸς δυσμὰς ἡλίου μέρος τῶν ἄλλων πάντων ταύτης προτετιμήκασιν, ὅ γε δὴ τὸ χερσαῖον αὐτῆς περιτείχισμα ὑφ' ἑαυτὸ περιέκλειον, ἀγάμενοι μὲν αὐτὸ καὶ ὅπως εἶχε κάλλους καὶ θέσεως καὶ τῆς αὐτόθεν ἀπολαύσεως πάμπαν ἐνστερνισάμενοι, πλέον δ' ὅτι πάσης ἀταραξίας καὶ γαλήνης πεπλήρωτο· τό τε γὰρ τεῖχος αὐτὸ ἑκατέρωθεν τῇ θαλάσσῃ ἀποδιήρησο καὶ οἷον τῆς ἐπὶ τὰ πρόσω ἀποτετείχιστο παρατάσεως ἐξ ἀρκτικοῦ τε καὶ νοτίου κλίματος ὑπὸ ταύτης ἀσφαλιζόμενον, καὶ ὥς περ τινι θριγγίῳ τῷ κτίσματι περιῤῥάττον τὰ ἔνδοθεν, ὅ τε χῶρος ἅπας ἐντὸς ἐπὶ μήκιστον ἐφαπλούμενος ὑλώδης ὅλος ὑπανείτο καὶ λάσιος, τῷ τε συνηρεφεῖ τῶν δένδρων εὖ μάλα συσκιαζόμενος καὶ οἷον ἐπιτερπές τι προβεβλημένος καὶ χάριεν θέαμα, ἥ τε τῶν ὀρνίθων μελῳδία ἐκ μετεώρου ταῖς κοιλάσι περιηχεῖτο ἡδύ τι καὶ μελιγρὸν τερετίζουσα, τά τε πέτηλα τῶν δένδρων ταῖς αὔραις μαλακόν τι καὶ προσηνὲς ἐκπεμπόμεναι τὰς νάπας περιελάλουν μέλος τι κοινὸν ὑποψιθυρίζοντα, καὶ ἦν ὅλως ἐρημικόν τι καὶ ἀθορύβητον καὶ ἀτεχνῶς τοιούτοις ἀνδράσιν ἁρμοδιώτατον, μόνοις τοῖς θηρίοις τοῦ ἀγροῦ πρὸς τὸ κοιτάζεσθαι δεξιὸν καὶ τοῖς πετεινοῖς τοῦ οὐρανοῦ πρὸς κατασκήνωσιν ἀσφαλέστατον. Τούτου δὴ τοῦ μέρους καταθελχθέντες ταῖς χάρισιν, αὐτοῦ που κατασκηνῶσαι καὶ τῆς προτέρας ἐπιλῆθαι διαγωγῆς ἰδιαζόντως ἕκαστος ἠρετίσαντο, ὡς στρουθὸς ἐρημικὸς διῴκοντες τὴν ἀναχώρησιν καὶ τὸ κατὰ μόνας ἀποκρύφῳ τὰ τῆς ἡσυχίας μετέρχεσθαι. Τοιγάρτοι καὶ μηδέν τι λαβόντες, μηδὲ τὰ πλείω φιλοπονήσαντες, ἀλλὰ τὴν αὐτόματον ὑποδύντες τοῦ τόπου δασύτητα καὶ ταύ-

1. Ματθ. 18, 20.
2. Ἐν τῷ κώδικι ἀγελικῆς. Πρβλ. σελ. 39.

τὴν ἑαυτοῖς ὡς καλὴν σχεδιάσαντες, ἰδιαιτάτως ἔκτοτε τοῖς τοῦ ἀγροῦ θηρίοις ἕκαστος εὐδόκησε συναυλίζεσθαι. Πλὴν οὐ μακρὰν ἀπ' ἀλλήλων τὰς διατριβὰς αὐτῶν ἀπετάξαντο, ἀλλ' ἀπὸ μετρίου τινὸς διαστήματος, ἅμα καὶ τὰ τῆς ἡσυχίας κρατύνοντες ἑαυτοῖς καὶ τὸ ἀκοινώνητον ὡς ἐπονείδιστον διαφεύγοντες. Ὁ μέν, ὁ Πατάπιος, κατὰ τὸ ἀρκτικώτερον μέρος, ὡς πρὸς τῷ παραλίῳ τείχει τῶν Βλαχερνῶν[1]· ὁ δέ, ὁ Ῥαβουλᾶς, κατὰ τὸ νοτιώτερον, πρὸς τῇ πύρτῃ τοῦ αὐτοῦ τείχους, ἣ περ ἐπώνυμον ἡ τοῦ ἁγίου Ῥωμανοῦ προσηγορία ἀποκεκλήρωται[2]· ὁ δέ γε θεσπέσιος Βάρας κατὰ τὸ μέσον τῆς ἀπ' ἀλλήλων αὐτῶν διαστάσεως, οἷα σύνδεσμον τῶν ἄκρων τὴν ἑαυτοῦ πηξάμενος κατασκήνωσιν.

§ 5. Ὅσα τοίνυν τὸ ἀπὸ τοῦδε τῷ μεγάλῳ Πατατπίῳ κατώρθωτο καὶ ὅσα γε τῷ μακαρίῳ Ῥαβουλᾷ διηγώνιστο, αἱ κατ' αὐτοὺς ἱστορίαι σαφέστατα διεχάραξαν, προβεβλημέναι πᾶσι κατὰ τὸ πρόχειρον τοῖς γε βουλομένοις τὰ περὶ αὐτῶν διεξιέναι καὶ ἐκδιηγεῖσθαι[3]. Ὅσα δέ γε τῷ θεολήπτῳ κατείργαστο Βάρᾳ καὶ ὅπως αὐτῷ τὰ κατὰ τὸν βίον πάντα διήνυστο, ἔνθεν ἐρῶ· ἐπειδή γε συγγραφῇ παραδοῦναι ὅσιόν τε ἡμῖν ἔδοξε καὶ γνώμης (ὡς εἰκὸς) φιλοπάτορος, ἵνα μὴ καὶ ἡμεῖς τῷ τὸ δεσποτικὸν ἀργύριον καταχώσαντι ὡς ἀμελεῖς τινες καὶ ἀγνώμονες τὴν καταδίκην συνυπεισέλθωμεν[4]. Ἐξ ὅτου τοίνυν ἑαυτῷ τὸν τόπον ἀπεμερίσατο, ἐν ᾧ δὴ τὰ καὶ ἐδοκίμασεν ἀπερίσπαστα τὰ τῆς ἀσκήσεως αὐτῷ ἐξακεῖσθαι, ἔκτοτε μᾶλλον ὥσπερ ἄρτι τῶν πόνων ἀρχόμενος, οὕτω πρὸς τὸ τῆς ἀρετῆς παγκράτιον ἑαυτὸν καθῆκε μετὰ γενναίου φρονήματος γυμνὸν παντάπασι τῆς ὕλης τοῦ κόσμου, καὶ αὐτῶν δὲ τῶν τοῦ σώματος ἀναγκαίων ὡς μάλιστα ὑπερκείμενον, ὥστε πρὸς τὰς ἐχθρῶν συμπλοκὰς καθάπαξ εἶναι ἀπαρεμπόδιστον, ἕτοιμόν τε πρὸς τὸ καταπηδᾷν ἐν καιρῷ καὶ σθεναρῶς αὐτοῖς ἀντιτίθεσθαι· ἐγκρατείας μὲν γὰρ αὐτῷ τοσοῦτον ἐμέλησεν, ὡς κοῦφον αὐτῷ καθόλου λογίζεσθαι τὸ ἑβδοματαῖος ἀπονηστίζεσθαι, καὶ τοῦτο δὲ ἄρτῳ διαφέρειν μόνῳ καὶ ὕδατι, ἀγρυπνίας δὲ τοσοῦτον ἐξείχετο, ὡς ὅλας νύκτας ἀύπνους διαβιβάζειν, καὶ τοῦτο κατὰ συνέχειαν τῇ τῶν θείων ἐννοιῶν μελέτῃ φιλοπόνως ἐνασχολούμενος, κάτωθέν τε τῷ Θεῷ παριστάμενος καὶ τῇ τοιαύτῃ παραστάσει καὶ αὐτοῖς γε τοῖς ἀγγέλοις παρομιλλώμενος, προσευχῇ τε αὐτῷ ἀνένδοτος ἑκάστοτε διηγώνιστο, γονάτων κλίσις πάνυχός τε καὶ παννημέριος, ψαλμοὶ τοῖς χείλεσιν ὑπῄδοντο ἀκατάπαυστοι καὶ ἡ αἴνεσις Κυρίου συνετῶς αὐτῷ διὰ παντὸς κατὰ διάνοιαν ἐπεμέλετο. Ἔνθεν τοι καὶ τὴν τῆς ψυχῆς λαμπάδα μέχρι πέρατος ἀκοίμητον ἑαυτῷ συνετήρησε καὶ ἀξίαν τῆς εἰς τὸν νυμφῶνα τοῦ Δεσπότου συνεισελεύσεως, οἷά τινι ἐλαίῳ τῇ τῆς σαρκὸς χρησάμενος πιμελῇ, ἣν διὰ τῆς ἀνενδότου σκληραγωγίας αὐτόθεν καθ' ἑκάστην ἀπέθλιβε, τὸν λύχνον τῆς καρδίας περιφέρων ὑποκαιόμενον καὶ τὴν ὀσφὺν τῆς διανοίας διεζωσμένην ἑκάστοτε πρὸς τὸ τῶν ἀρετῶν φιλοπόνημα· ἔσπευδε γὰρ τῇ τῆς σαρκὸς κατατήξει τὴν ψυχὴν καθαρωτάτην ἐργάσασθαι, καὶ τὰ τοῦ νοὸς κινήματα πρὸς θείας καὶ Θεῷ προσοικειούσας ἐννοίας ἀναπετάννυσθαι. Ὅθεν καὶ πρὸς μίμησιν τῆς τοῦ θεσβίτου βιοτῆς ἑαυτὸν ὡς εἶχε συνέτεινεν· ὡς γὰρ ἀρχέτυπόν τι τὸν ἐκείνου βίον ἑαυτῷ ἐν οἷς ἐσπούδαζεν ὑπετίθετο, τὴν γαστέρα μὲν ὡς δέσποιναν ἀποδιδράσκων διώκτιαν καὶ πρὸς τὸ τῆς ἐγκρατείας ὅρος ἀνατρέχων καὶ οἷον ἀποκρυπτόμενος, κάντεῦθεν τὴν καταδρομὴν αὐτῆς καὶ βίαν διακρουόμενος, δάκρυσί τε καταιονῶν ὥσπερεί τισιν ὕδασι τὰ κατατυθέντα μέλη τοῦ σώματος καὶ τῷ πυρὶ τῆς θείας ἀγάπης πᾶσαν ἐξαναλίσκων ἡδυπάθειαν, οὕτω τε τοὺς λειτουργοὺς τῆς αἰσχύνης, τοὺς μυσαροὺς λέγω δαίμονας, τῇ μαχαίρᾳ τῆς χάριτος πεπαρρησιασμένως κατασφάττων καὶ ἀπολλύς, τοῦ Βαπτιστοῦ δὲ παρὰ πόδας ἠγάπα παρέπεσθαι τῇ διαίτῃ καὶ τῇ γυμνότητι, τῇ ἀποθέσει τῶν γηΐνων καὶ τῷ καινοφανεῖ τοῦ βίου καὶ ὑπὲρ ἄνθρωπον, τοὺς πόδας μὲν ἑτοιμαζόμενος ταῖς ὁδοῖς Κυρίου καθ' ἑκάστην

1. Πρβλ. Συμεὼν Μαγίστρου βίον τοῦ ὁσίου Πατατπίου ἐν Migne, Patrol. Gr. τ. 116, σ. 360· «ἄγνωστος δὲ τῇ Κωνσταντίνου ἐπιφοιτᾷ, καὶ πρὸς τῷ ἐν Βλαχέρναις τείχει τὴν κατοικίαν θέμενος, ἑαυτῷ μόνῳ καὶ τῷ Θεῷ προσέχων ἦν, ξένος, ἐρημος, ἀμύητος τοῖς πολλοῖς καὶ ἀθέατος» κτλ.

2. Ἐκ τῆς μαρτυρίας ταύτης δυνατὸν νῦν νὰ προσδιορισθῇ καὶ ἡ θέσις τῆς μονῆς Ῥαβουλᾶ (ἀναφερομένης ἐν τοῖς Μηναίοις) ἄγνωστος τελοῦσα τοῖς τοπογράφοις τοῦ Βυζαντίου. Τὴν μονὴν δὲ ταύτην, λέγει ὁ Συναξαριστής, ἔκτισεν ὁ Ῥαβουλᾶς τῇ συνεργείᾳ τοῦ αὐτοκράτορος Ἀναστασίου τοῦ Δικόρου. Ἴδε Νικοδήμου, Συναξ. τ. Α', σ. 466, ἐκδ. Φιλαδελφέως.

3. Κατὰ Συμεῶνα τὸν Μάγιστρον καὶ Μεταφράστην ὁ Πατάπιος ἐτάφη ἐν τῇ μονῇ τοῦ Προδρόμου, ἀναμφιβόλως δὲ ἐν τῇ τῆς Πέτρας καλουμένῃ. «Τὸ δὲ ἀσκητικὸν αὐτοῦ καὶ ἱερὸν λείψανον, χερσὶν ὁσίαις περισταλέν, ὁ ἱερὸς τοῦ Προδρόμου λαμβάνει ναός». Migne, Patrol. Gr. τ. 116, σ. 368.

4. Ματθ. 25, 18.

ἐγκατευθύνεσθαι, τῷ δέ γε ποταμῷ καταβαπτίζων τῆς κατανύξεως οἷά περ ἐχίδνης γεννήματα τὰ τῆς καρδίας διανοήματα, εἴ πέρ ποτε πρὸς ἔρημον τῶν παθῶν αὐτομολῆσαι προείλοντο· οὕτω τε τὸν σπίλον ἀποπλύνων τῆς ματαιότητος καὶ μεταδιδάσκων τὴν καθαρότητα καὶ τὴν πρὸς τὸ θεῖον ἐπιστροφήν, τὴν ψυχὴν ἀεὶ κατελεύκαινε καὶ νύμφην καθαρὰν τῷ καθαρῷ νυμφίῳ διόλου ἐμφανίζεσθαι παρεσκεύαζε πασῶν κηλίδων ἀπηλλαγμένην, ἃς τὰ πάθη ἀποκυίσκουσιν. Οὐ μὴν δὲ ἀλλὰ καὶ ἐς τοσοῦτον προσταλαιπωρεῖσθαι τοῖς πόνοις διηνεκῶς ἑαυτὸν ἐξεπαίδευσεν, ὡς μηδὲ βαρύ τι τὸ παράπαν τοῦτο λογίζεσθαι, ἀλλ' οἷον ἐντρύφημα ἐξ οὗ, καθάπερ τινὰς θῆρας πολυμόρφους, τὰ ποικίλως ἄλλοτε ἄλλως ἀγριαίνοντα τοῦ σώματος πάθη παντελῶς καθυπέταξεν, οἷά τισιν ἐπῳδαῖς τοῖς λογίοις τοῦ Πνεύματος διηνεκῶς ἀποχρώμενος. Ἐντεῦθεν βασιλέα ἑαυτὸν ὡς ἀληθῶς ἀπειργάσατο τῷ τοῦ νοὸς ἡγεμονικῷ, θηρίων πάντων αἰσθητῶν τε καὶ νοητῶν σὺν αὐθεντίᾳ δεσπόζοντα, μὴ μέν τοι παραζηλοῦντα τῇ χαυνότητι τὸν πρωτόπλαστον ὡς ἐκ ταύτης ἀποβαλέσθαι τὴν ἀρχικὴν ἐξουσίαν, ἣν ἄνωθεν ὁ Δημιουργὸς τῇ φύσει τῶν ἀνθρώπων ἀπεχαρίσατο, ἀλλὰ δήπου καὶ αὐτοὺς τοὺς δερματίνους χιτῶνας, οὓς τῷ ἀρχεγόνῳ παραπτώματι πάντες ἄνθρωποι ἀμφιέννυσθαι κατεκρίθημεν ἀβαρῶς ἀποζέσαντα, ἱμάτιον δὲ σωτηρίου διὰ τῆς ἐντελοῦς ἀπαθείας ἑαυτῷ καθυφάνατο· ὅλως γὰρ ἐξαυρῶσθαι (κατὰ Παῦλον)[1] τῷ κόσμῳ ἐσπούδαζε καὶ σκεῦος ἐκλογῆς[2] καὶ τῆς ὑποδοχῆς τοῦ Πνεύματος ἄξιον ἑαυτὸν καταστήσασθαι δι' ἁγιωσύνης καὶ καθαρότητος· καὶ γὰρ μελέτην ἀεὶ θανάτου τὸν βίον ποιούμενος, δακρύων ἐπιροῇ καταπαρέχειν ἑαυτὸν διηνεκῶς οὐκ ἐπαύετο, ἄλλην τὴν ἡμέραν θανατᾷν διὰ τὸν Κύριον προαιρούμενος[3]· ὥσπερ γάρ τινι μνήματι τῷ σώματι ᾤετο ἐγκεκλεῖσθαι, καὶ διὰ τοῦτο θρήνοις ἑαυτὸν ὡσεὶ νεκρὸν ὠλοφύρετο. Ὅθεν πάνυ ποθητὸν ἦν αὐτῷ ἐντεῦθεν ἀναλῦσαι καὶ σὺν Χριστῷ εἶναι (κατὰ τὸν θεῖον Ἀπόστολον[4]), οὗ δὴ χάριν καὶ τῆς σαρκὸς πρόνοιαν οὐδαμῶς οὐδέποτε ἐπεποίητο, ἀλλὰ καὶ αὐτῶν τῶν τοῦ σώματος ἀναγκαίων ὑψηλότερος πάντοτε κατεφαίνετο τοσοῦτον, ὡς καὶ τὸν ἄνθρωπον αὐτοῦ ἐσθίειν ἐπιλανθάνεσθαι· καὶ γὰρ τὸν τοῦ Θεοῦ πόθον ὡς ἐπ' ἀγαθῇ τινι αὔλακι τὰ ἑαυτοῦ ψυχῇ ἐναφεθέντα ὑποδεξάμενος καὶ ταῖς συνεχέσι τῶν προσευχῶν ἐπιλύσεσι καταρδεύσας αὐτὴν καὶ καταπιάνας, τὸν τῆς ἀρετῆς ἐκφύειν ἄσταχυν ἐξ αὐτῆς ἑκατοστεύοντα παρεσκεύασεν, ἐξ οὗ τὸν ἄρτον τὸν ζωτικὸν ἐπορίζετο, τὸν τὰς ψυχὰς διατρέφοντα, τὴν τοῦ θείου λέγω Πνεύματος δύναμιν· καὶ τούτου τῇ δαψιλεῖ χορηγίᾳ ἐπὶ μακρῶν ἡμερῶν παρατάσει τὴν ἰδίαν ἀσθένειαν ὑπεστήριζεν, ὡς μηδ' ἐν τούτῳ τῷ μέρει ἀποπίπτειν παρὰ πολὺ τῆς περὶ τὸ ἐγκρατὲς τοῦ μεγάλου Μωσέως ἀκρότητος. Ὅθεν τὴν τῶν παθῶν θάλασσαν τῇ βακτηρίᾳ διατμήξας τῆς καθαρότητος, καὶ διεξιὼν ἀσφαλέστατα, καὶ τὴν τῶν διωκόντων κακομήχανον φάλαγγα μηδέν τι τῆς καταδρομῆς αὐτῶν παραχωρήσας ἀπόνασθαι, ἀλλὰ τῷ βυθῷ τῆς ἑαυτῶν κακίας ἐναποπνιγῆναι παρασκευάσας πρὸς τὴν τῆς ἀπαθείας ἐξελήλυθεν ἔρημον, κἀκεῖθεν πρὸς ὄρος θείων θεωριῶν ἑαυτὸν ἀνατείνας καὶ πρὸς τὴν γνοφώδη τῆς ἀπορρήτου γνώσεως ὑπεισιῶν κρυφιότητα, τὰς θείας ἐμφάσεις ἀκραιφνεῖς ἐκεῖθεν ἐδέχετο· καὶ καθαρώτατον ἔσοπτρον τῶν θεϊκῶν γενόμενος ἐπιλάμψεων, γνωστῶς προσομιλεῖν τῷ Θεῷ κατηξίωτο, τῷ τοὺς οἰκείους γινώσκοντι καὶ ὑπὸ τῶν οἰκείων καταξιοῦντι γινώσκεσθαι. Πολλάκις γὰρ ταῖς θείαις θεωρίαις ἀνατεινόμενος κάτωθεν καὶ ὡς ἐν ἐκστάσει γινόμενος, εἶτα καὶ αὐτοὺς τοὺς οὐρανοὺς τῷ νοῖ διερχόμενος, ἔνδον τε εἰσήρχετο νοερῶς καὶ τοῖς ἐκεῖσε θείοις λειτουργοῖς τῷ τῶν ὅλων Δεσπότῃ συμπροσκυνεῖ καὶ συνεδόξαζεν· ἔδει γὰρ τὸν οὕτω τὰ καθ' ἑαυτὸν τοιούτοις θείοις ἀνδράσι καθ' ἑκάστην παρατιθέμενον, καὶ τῶν ἴσων πάντως καταξιοῦσθαι θεοπτιῶν, ὅλον ἑαυτὸν ἤδη διὰ τῆς ἐπιπόνου διαγωγῆς καταθύσαντα καὶ ὑπὸ τὴν σκηνὴν τῆς ἀβραμιαίας αὐτοῦ ψυχῆς τὴν τριάδα ξεναγωγήσαντα.

§ 6. Οὕτω τοιγαροῦν κατ' ἴχνος τῶν ῥηθέντων θείων ἀνδρῶν ἐπιποθήσας πορεύεσθαι, ἑξαιρέτως δὲ ἑαυτὸν ἐπιτρέψας τοῦ Βαπτιστοῦ τῷ βίῳ παρέπεσθαι, καὶ ὅλως τῆς πρὸς αὐτὸν ζωργῆς ἐξεχόμενος, σύμβολόν τι καὶ τῆς ἐκείνου πρὸς αὐτὸν διαθέσεως αἰσθητῶς ἰδεῖν κατηξίωτο· κατὰ γὰρ τὸ ἀγροτικὸν ἐκεῖνο μέρος καθ' ὃ τὰ τῆς ἡσυχίας ἑαυτῷ ἀπεκλήρωσε, τὰς συνήθεις ἑαυτῷ ποιούμενος περιστροφάς τε καὶ περιαγωγάς, ἐπεί ποτε δόξαν αὐτῷ περὶ τὸν τόπον εἰσέβαλε πολύπραγμον ἕτερον, καὶ πρὸς τὸ τῆς ὕλης χωρήσας βαθύτερον τὰ κατὰ τὸν τόπον διηρευνᾶτο, ἀθρόον κτίσματι

1. Πρὸς Γαλάτας 6, 14.

2. Πράξ. 9, 15.

3. Πρὸς Ῥωμ. 8, 36. Κορινθ. 1, 4, 9. Κορινθ. 2, 4, 11. 11, 23.

4. Πρὸς Φιλιππησ. 1, 23.

ἐντυγχάνει παλαιοτάτῳ, ὅπερ ἡ συνέχεια τῆς τοῦ ἀγροῦ δασύτητος τέλεον συνεκάλυπτε. Τὰ γοῦν τῆς ὕλης ὡς ἐνῆν διασχὼν καὶ φιλοπονωτέρᾳ περὶ τὸν τόπον ἀνακαθάρσει χρησάμενος, ναὸν εὑρίσκει παλαιότατον ἐπὶ τῷ τοῦ Βαπτιστοῦ καθιδρυμένον ὀνόματι, ξεστοῦ λίθου καὶ ὀπτῆς πλίνθου πεποιημένον, θαυμάσιόν τι χρῆμα καὶ οἶκον ὡς ἀληθῶς προσευχῆς. Τῷ ἀπροσώπτῳ τοίνυν τοῦ πράγματος χάριν τῷ Θεῷ τὴν προσήκουσαν καταθείς, ἐν αὐτῷ τε καταμένειν καὶ τὰ τῆς προσευχῆς ἀποτελεῖν ἐντεῦθεν διενοήσατο. Τοῦτο δείγμα τῆς πρὸς αὐτὸν τοῦ Βαπτιστοῦ σχέσεως ἐλογίσατο· ἐγνώριστο γὰρ ἐντεῦθεν τῷ μακαρίῳ ὅπως ἔχει γνώμης τά γε περὶ αὐτὸν καὶ ὅπως κοινωνὸν αὐτῷ καὶ τοῖς ἐν οὐρανοῖς ἀρρακβωνίζεται συσκηνώσεως, ἅμα καὶ παραψυχὴν αὐτῷ οὐ μετρίαν αὐτόθεν ὑποτιθέμενος αἰθρίως ταλαιπωρούντι, ἵν' ἔχοι τὰς ἐκ τῶν ἀέρων προσβολὰς ὑπὸ τὴν θείαν ταύτην σκηνὴν ἔσθ' ὅτε μικρὸν ἀποκρούεσθαι. Ἦν τοίνυν ὡσεὶ ἐλαία (ψαλμικῶς εἰπεῖν)[1] ἐν οἴκῳ Κυρίου κατάκαιρος, τῷ τῆς χάριτος ἐλαίῳ καθ' ἑκάστην ἱλαρυνόμενος, μόνῳ μέντοι τῷ εἰδότι τὰ κρύφια καθορᾶσθαι διὰ παντὸς ἐφιέμενος. Πλὴν ἀλλ' οὐκ ἦν ἐν ἀγρῷ κρυπτόμενον θησαυρὸν ἐπὶ πλέον ἀγνοεῖσθαι καὶ κρύπτεσθαι, οὐδὲ τὸν πολύτιμον μαργαρίτην ἐπὶ πολὺ λανθάνειν καὶ οἷον ὑπὸ γωνίαν παρερρίφθαι καὶ συγκαλύπτεσθαι, ἀλλ' ἐμφανῆ ποτε γενέσθαι καὶ δι' αὐτοῦ μεγαλυνθῆναι τὸν τῶν θαυμασίων Θεόν. Ἀλλὰ προσεκτέον τῷ διηγήματι, ἔχει γάρ τι καὶ χάριεν σὺν τῷ παραδόξῳ τοῦ θαύματος.—Θηρευταί τινες πρὸς θήραν ἐξιόντες κατὰ τὸ σύνηθες, αἱ ταῖς βασιλείοις εἰώθασι παριζάνειν αὐλαῖς, ὡς πρὸς μηδὲν ἕτερον τὰ τῆς σφετέρας τέχνης ἐπιδεικνύμενοι, μήτε μὴν τὰ τῆς ὑπηρεσίας ἀποτινύντες ἄλλως τοῖς βασιλεῦσιν ἢ πρὸς θήραν ἐξιοῦσι, τεταγμένοις τούτοις ἐκπορεύεσθαι θηριομάχους κύνας ἑφέλκοντες καὶ ἰγνηλάτας περιακκίζοντες σκύλακας. Οὗτοι ποτὲ τὸν τόπον καταλαβόντες καὶ τὴν τῆς ὕλης ὑποδύντες δασύτητα, καθά γε καὶ ποιεῖν αὐτοῖς σύνηθες, τόν τε ναὸν κεκαθαρμένον τῆς αὐτόθι ὕλης καταλαμβάνουσι καὶ τὸν ὅσιον ἐν αὐτῷ προσευχόμενον. Θόρυβος οὖν εἰσῆλθεν αὐτοῖς τῷ ἀθρόῳ τοῦ πράγματος, καὶ γὰρ εἰκὸς ἦν αὐτοὺς τοῦτο πείσεσθαι, πολλάκις μὲν τὸν τόπον διαδραμόντες, πολλάκις δὲ τὴν ὕλην ἀνερευνήσαντες, καὶ πολλὰς μὲν θήρας αὐτῆς ἐκκομισαμένους, μηδέποτε δὲ τοιούτῳ περιτυχόντες θεάματι. Καταμηνύουσιν οὖν αὐτίκα τοῦτο τῷ βασιλεῖ ἐκεῖσέ που διῃπεύοντι· καὶ γὰρ ἔτυχε περὶ τὸν ἀγρὸν τὸ τηνικάδε διακινούμενος καὶ γυμνασίου μὲν χάριν, οὐχ ἥκιστα δὲ καὶ τοῦ μικρόν τι ἀνεθῆναι τῶν τῆς βασιλείας ὀχλήσεων. Τοῦτο τοιγαροῦν ἀκούσας ὁ βασιλεύς, εἶτα καὶ ὑπολογισάμενος ὡς πολλαχοῦ τῆς γῆς εἰσιν ἄνθρωποι ὅλους ἑαυτοὺς τῷ Κυρίῳ ἀνατιθέμενοι, θεάσασθαι τὸν ὅσιον ἠρετίσατο ὥστε καὶ ὁμιλίας αὐτῷ γε συμμετασχεῖν· ὁ δέ, καὶ γὰρ ἦν διατραχθείς, ὡς τῷ πολυφώνῳ τῶν σκυλάκων τραχύ τὴν ἀκοὴν καταβομβηθείς, οἷς κυκλόθεν περιεστοίχιστο, μικρόν τι τῆς προσευχῆς ὑπενδοὺς καὶ τοῦ ναοῦ λελησθότως προκύψας ἔκ τινος κρυφίας ἀπόψεως, καὶ τὴν ἔνεδραν ἤδη συνεὶς πρὸς τὸ φυγεῖν ἐπέτρεψεν ἑαυτὸν καὶ τοὺς ἀνθρώπους ὡς εἶχε διαλαθεῖν· καὶ κἂν κατώρθωσε τοῦτο, εἰ μὴ κύκλωθεν ἦσαν οἱ κυνηγέται παρακαθήμενοι καὶ τὴν τοῦ βασιλέως ἐκδεχόμενοι παρουσίαν. Ὡς οὖν τὸ παρ' αὐτῶν ὁ ὅσιος ἤκουσεν, ἤδη δὲ καὶ τὸ δυσέφικτον συνῆκε τοῦ πράγματος, διαδρᾶναι γὰρ ἔκτοτε οὐχ οἷός τε ἦν, ἀλλὰ καὶ τὴν τοῦ βασιλέως ἐνδημίαν ἔγνω ὅσον ἤδη ἐγγίζουσαν, τὰ μὲν τῆς ῥυγῆς ἐντεῦθεν ἤδη παρῆκε, κἂν οὐχ ἑκών, παρῆκε δ' ὅμως· περὶ δέ γε τὴν ὑπαντὴν οὐκ ἀνειμένος τις ἐφάνη, οὐδ' ἀμελής, οὐδ' οἷον, ἀδαὴς τοῦ καθήκοντος, ἀλλ' οἷς εἶχε δεξιώσασθαι τὸν ἄνακτα διεσκέψατο καὶ τὸ προσῆκον αὐτῷ σέβας μετ' εὐλαβείας ἀφοσιώσασθαι. Τί γοῦν ποιεῖ; Θυμιάματι τοῦτον προϋπαντᾷ, προϋπαντᾷ δὲ οὕτως. Σπουδαιότατα τῷ πτερυγίῳ τοῦ ῥακώδους μανδύου, ὃν τηνικαῦτα ἠμφίεστο, ὅσα γε καὶ πυρείῳ χρησάμενος, ἄνθρακάς τε ἀνάψας ἐν αὐτῷ καὶ θυμίαμα ἐπιθείς, (ὦ τῶν θαυμασίων σου, Κύριε!) οὕτω τὸν βασιλέα προϋπαντᾷ καὶ δεξιοῦται τῇ εὐωδίᾳ τοῦ θυμιάματος ἐπὶ ὥρας μακρᾶς διαστήματι, μήτε τῶν ἀνθράκων ὑπομαρανθέντων, ἀλλὰ τὸ πρὸς τὴν καῦσιν ἐνεργὲς ἐπιδεικνυμένων ὡς μάλιστα καὶ τὴν ὀσμὴν ἀναδιδόντων τοῦ θυμιάματος καὶ πάντα τὸν ἀέρα καταπλησάντων τῷ συντόνῳ τῆς ἐκπυρώσεως, μήτε τοῦ ῥακώδους ἐκείνου μέρους μικρόν τι κἂν λωβηθέντος ἐκ τῆς τοιαύτης τῶν ἀνθράκων ἐκκαύσεως, ἀλλ' ὡς στεγανοῦ τινος σώματος τήν τε φύσιν αὐτοῦ ἀβλαβῆ διασώζοντος, ἅμα δὲ καὶ συντηροῦντος ἐπὶ τοσοῦτον ἀκαταβέστους τοὺς ἄνθρακας.

§ 7. Τοῦτο οὐκ ἐπιδείξεως χάριν τῷ μακαρίῳ τεθαυματούργηται (πῶς γὰρ ἄν ποτε καὶ ἠνέσχετο τοῦτο, ὃς διὰ παντὸς ἀπέκρυπτεν

1. Ψαλμ. 51, 10.

ἑαυτὸν καὶ λανθάνειν ἐσπούδαζεν;), ἀλλ' ἁπλότητι ψυχῆς καὶ συνηθείᾳ λιτότητος β[ίου] συνέζη διηνεκῶς, ἢ καὶ ἄλλως θείας ἐπιπνοίας συγκινησάσης αὐτόν, ὃ καὶ μᾶλλον προσίεσθαι ἄξιον, ἵν' ὁ κεκρυμμένος ἐκεῖσε φανερωθῇ θησαυρὸς καὶ Θεὸς δοξασθῇ, ὁ Θεοὺς ἀποτελῶν τοὺς ὁλοτρόπως αὐτῷ προσανέχοντας. Τοῦτο τὸν βασιλέα κατέπληξε καὶ πάντας, ὅσοι τῇ βασιλείῳ τότε περιωπῇ παρέτυχον παρεπόμενοι, καὶ τὸν τῶν θαυμασίων Θεὸν ἐμεγάλυνον καὶ Θεοῦ ὄντως ἄνθρωπον τὸν ὅσιον ἀνηγόρευον. Τοῦτον ὁ βασιλεὺς πολλαῖς ἐσπούδασεν ἔκτοτε ταῖς χάρισιν ἀντιδεξιώσασθαι καὶ μεγάλαις καὶ βασιλεῖ πρεπούσαις δωρεαῖς τὸ λειτούργημα καταθεῖναι τῆς ὀφειλῆς, ὡς τάχα οἰκειώσασθαι τὸν μέγαν ἐκ τούτου διασκοπούμενος καὶ τῶν εὐχῶν αὐτοῦ γνησιωτέρως ἀπόνασθαι· διὸ καὶ πολλαῖς πρὸς αὐτὸν ἐχρῆτο ταῖς παρακλήσεσιν ἀξιῶν εἴ τι ἄρα καὶ βούλοιτο καθυποθέσθαι αὐτῷ καὶ τὴν ἐκπλήρωσιν ἀπαιτεῖν· ὁ δέ, καὶ γὰρ ἦν τῶν τῇδε πάντων ἀπορραγεὶς ἐκ μακροῦ καὶ οὐδὲν τῶν γηΐνων πρὸς ἑαυτὸν λογιζόμενος, οἷα κόσμου καὶ τῶν κατ' αὐτὸν ἐκ νεαζούσης ἡλικίας παντάπασιν ἀποσχόμενος, οὐδ' ἐπινεῦσαι τὴν ἀρχὴν πρὸς τὰς τοῦ βασιλέως ἀξιώσεις ἠνέσχετο, οἱονεί τινα κολόβωσιν ἐντεῦθεν τῶν ἐν οὐρανοῖς ἀποκειμένων αὐτῷ ἀγαθῶν ὑφορώμενος. Πλὴν ὡς κατώδυνον αὐτὸν ἑώρα καὶ λίαν ἐπὶ τῷ πράγματι περιαλγυνόμενον, τοῦτο μὲν καὶ τὸ περιπαθὲς αὐτοῦ ἐξιώμενος ὡς πληροῦν αὐτὸν ἤδη περὶ τὴν τῆς ἀξιώσεως συγκατάθεσιν, τοῦτο δὲ καὶ συντηρεῖσθαι πάλιν ἑαυτῷ τὰ τῆς ἡσυχίας ἀπαρεμπόδιστα προμηθούμενος, τεμάχιόν[1] τι τοῦ ἀγροῦ κατὰ τὸν τόπον ἐν ᾧ περ εὕροιτο ἐξασκούμενος, οὐ πλέον ἢ μοδιαίας γῆς διασῶζον περίμετρον, ἀποδοθῆναι οἷ[2] παρ' αὐτοῦ δῆτα τοῦ ἄνακτος ἐξῃτήσατο, καὶ τοῦτο ἵνα (φησί) μὴ τὰ τῆς εὐχῆς αὐτῷ ποτέ παρὰ τῶν θηρευτῶν διακόπτοιτο. Τοῦτο ὁ βασιλεὺς ἐκθύμως τε παραυτίκα προσήκατο καὶ σφραγίδι τῇ συνήθει τὴν τοιαύτην δωρεὰν ἠσφαλίσατο, μεγάλην τῷ μακαρίῳ τὴν χάριν ὁμολογῶν καὶ τούτου γε ἕνεκεν, ὅτι μὴ διαπεσεῖν κατὰ τὸ παντελὲς τῆς ἀξιώσεως ἐγένετο· ὃς δὴ τόπος ἐν τοῖς μετέπειτα χρόνοις ἐκκαθαρθεὶς καὶ πρὸς ἀσκουμένων . . . . . κατασκήνωσιν, τὴν τοῦ Μοδίου ὅμως προσηγορίαν οὐκ ἀπεβάλετο, ἀπὸ συχνῶν τῶν χρόνων καὶ μακροτάτης συνηθείας ταύτην οἰκειωσάμενος. Τοῦτο τὸ θαῦμα πολλοὺς μὲν τῶν ἐν τέλει, πολλοὺς δὲ δῆτα καὶ τῶν τοῦ βήματος, ἀλλὰ καὶ αὐτὸν τὸν βασιλέα ἐπὶ τὸν κρείττω βίον ὁλοσχερῶς ὑπηγάγετο, καὶ πολλ[ούς] ἀφελῶς πάνυ διαζῶντας, ὡς τὸν ὑγρὸν καὶ διακεχυμένον βίον ἀμερίμνως μεταδιώκοντας, ἐν εὐλαβείᾳ καὶ προσεκτικωτέρᾳ διαγωγῇ διαβιῶναι μεταπεποίηκε πρὸς τὸ εὐπαρρησιάστον ἀπιδόντας τοῦ μάκαρος καὶ κρίνοντάς γε καθ' ἑαυτούς, ὅπως οἱ κατὰ Θεὸν ζῶντες οὐδὲ τοῖς ἀνεφίκτοις ἐπιχειρεῖν ἐνδοιάζ[οντε]ς.

§ 8. Ὁ οὖν οὕτως ἐκ [προτέ]ρου τοιαύτην ἐπιδειξάμενος δύναμιν, δῆλος ἂν εἴη πάντως θαυμάτων χάριτος μετασχών, κἂν ὅτι μάλιστα τὴν ἐξ ἀνθρώπων φήμην διακρουόμενος ἐπιδείκνυσθαι οὐκ ἐβούλετο, ὅπου γε καὶ τοῦτο δὴ τὸ προχείρως καὶ οἷον ἐξ ἐπιπέδου γενόμενον οὐκ ἐπιδείξεως χάριν, ἀλλὰ θείᾳ τινὶ τῆς [ἄνω]θεν προνοίας ῥοπῇ, καθάπου δὴ καὶ προλέλεκται, καταπραχθῆναι παρακεχώρηται. Τί πλέον ἐρεῖ τις τοὺς ἄνθρακας ἀπενέγκασθαι, οὓς ὁ μέγας ἐν ἀρεταῖς Θεοδόσιος ἐν ἐρήμοις περιὼν ἐσβεννυμένους ἔφερε ταῖς χερσί, τὴν ἀθρόαν ἄναψιν αὐτῶν εὐδοκίαν θείαν τεκμηριώσας ἐν ἑαυτῷ καὶ σημεῖον ἀδεὲς τῆς ἐκεῖ που συστησομένης τηνικαῦτα λαύρας οἰωνισάμενος; Τί δ' ἐκείνους τοὺς ἄνθρακας, οὓς ὁ περιώνυμος ἐν θαύμασιν, ὁ τῆς Ἀκραγαντίνων λέγω Γρηγόριος, ὑπὸ τὸ οἰκεῖον ἀνελόμενος ἄμφιον καὶ θυμιάσας κατὰ τὸν τόπον, ἐν ᾧ τὰ μήκιστα ἐκεῖνα ξύλα τὸν ποταμὸν διαζεύξαντα ἄπλωτον ἀπειργάσαντο, ἐκεῖθεν ἀνελκυσθῆναι ταῦτα κουφότατα παρεσκεύατε, φιλάνθρωπόν τι καὶ συμπαθὲς ἐπινεύσας τοῖς ἐπ' ἀναγκαίαις χρείαις τὸν αὐτὸν εἰωθόσι διαπλεῖν ποταμόν, συμφορὰν δὲ ποιουμένοις τὸ τηνικαῦτα τῶν ξύλων, ...

1. Ἐν τῷ κώδικι· τεμάχιον.
2. Ὁ κῶδιξ· ἀποδοθῆναί οἱ.

(ἀλλεάπει).

ΦΙΛΟΘΕΟΥ ΣΗΛΥΒΡΙΑΣ

ΒΙΟΓΡΑΦΙΑ ΜΑΚΑΡΙΟΥ ΤΟΥ ΕΞ ΕΩΑΣ.

Καταχωρίζεται ἐνταῦθα βιογράφημα Μακαρίου μοναχοῦ συμβάλλον πως εἰς τὴν ἱστορίαν τῆς ΙΔ' ἑκατονταετηρίδος καὶ ἰδίᾳ εἰς τοπογραφικὰς μελέτας περὶ Κωνσταντινουπόλεως. Συγγραφεὺς τούτου ἀναγράφεται Φιλόθεος ὁ Σηλυβρίας, οὗ γινώσκεται καὶ λόγος εἰς τὸν ἅγιον Ἀγαθόνικον ἐκδοθεὶς τὸ πρῶτον ὑπὸ Mingarelli ἐν Codic. Graec. Nanian. σ. 531 κ. ἑ. καὶ εἶτα ὑπὸ Migne ἐν Patrolog. Graec. τ. 154, σ. 1229—1240. Ὁ βιογραφούμενος ὑπ' αὐτοῦ ὅσιος Μακάριος ἀγνοεῖται ὑπὸ τῆς ὀρθοδόξου καθολικῆς Ἐκκλησίας, τὸ δὲ σπουδαιότερον, ὅτι οὐδὲ ἁπλουστάτη αὐτοῦ μνῆσις εὕρηται ἐν τοῖς βυζαντινοῖς χρονογράφοις· ἤκμαζε δὲ περὶ τὰ τέλη τῆς ΙΓ' καὶ τὰς πρώτας δεκαετηρίδας τῆς ΙΔ' ἑκατονταετηρίδος. Ἀλλὰ καὶ τοῦ συγγραφέως Φιλοθέου Σηλυβρίας ἡ χρονολογία ἀγνοεῖται ὁριστικῶς, ὁ δὲ Migne (ἔνθ. ἀνωτ.) μετ' ἀμφιβολίας κατατάσσει αὐτὸν ἐν τοῖς συγγραφεῦσι τοῦ ΙΔ' αἰῶνος, καίτοι ἔγγραφόν τι ἀναγινωσκόμενον ἐν τοῖς παρὰ Miklosich καὶ Müller πατριαρχικοῖς ἐγγράφοις δηλοῖ περιφανῶς, ὅτι ὡς μητροπολίτης Σηλυβρίας ἤκμαζε μεταξὺ τῶν ἐτῶν 1365—1367. Ἴδε Act. Patriarch. τ. II, σ. 490. Τὸ δὲ παρὸν βιογράφημα καθίστησι νῦν πρῶτον γνωστόν, ὅτι γεννηθεὶς ἐν Δακιβύζῃ τῆς Βιθυνίας ἐκ πατρὸς ἱερέως, Χαριτωνύμου ὀνομαζομένου, ἐκλήθη Φιλήμων, μετὰ δὲ τὴν ἀποβίωσιν τούτου, πεντεκαιδεκαέτης ἤδη ὤν, παραγενόμενος πρὸς τὸν ἑαυτοῦ θεῖον Σάββαν (§ 15), τὸν μαθητὴν τοῦ ὁσίου Γρηγορίου, ἐδιδάχθη πρῶτον τὴν ἐγκύκλιον παιδείαν ἐν μουσείῳ τινὶ καὶ ὕστερον ἀποκαρεὶς μοναχὸς μετωνομάσθη Φιλόθεος. Σημειούσθω δὲ ὅτι ἡ συγγραφή του αὕτη, ἡ ἀποπνέουσα καὶ κλασικῆς μαθήσεως, ἀναγινώσκεται τὴν σήμερον ἐν μοναδικῷ κώδικι (διστήλῳ) ἀποκειμένῳ ἐν τῇ βιβλιοθήκῃ τῆς κατὰ Χάλκην μονῆς τῆς Θεοτόκου ὑπ' ἀριθ. 53· περιγραφὴ δὲ τούτου γενήσεται ἐν τῷ οἰκείῳ καταλόγῳ.

ΛΟΓΟΣ[1] ΕΙΣ ΤΟΝ ΟΣΙΟΝ ΠΑΤΕΡΑ ΗΜΩΝ ΜΑΚΑΡΙΟΝ,

τὸν πρότερον μὲν ἐν Ἐώᾳ, ὕστερον δὲ καὶ ἐν Κωνσταντινουπόλει κατὰ τὴν μονὴν τοῦ Καλλίου ἀσκήσαντα.

§ 1. Πολλῶν ὄντων καὶ μεγάλων τῶν κατὰ Θεὸν πολιτευσαμένων, καὶ οὐμενοῦν οὐδ' εἰκάσαι ῥᾴδιον οὐδ' ἀριθμηθῆναι δυνατῶν, τοὺς πλείους ὅμως καὶ ἀμείνους τούτων ὁ μακρὸς αἰὼν φέρων τοῖς εὐσεβέσιν ἐγνώρισε. Μυρίων τοιγαροῦν ὁμοίως καὶ τῶν ἀρετῶν οὐσῶν, διαφόρων καὶ οὐ δυνατῶν ὡς μάλιστ' εὐχερῶς κατορθωθῆναι μηδ' ἀριθμηθῆναι, εἴ γε πᾶς τις ἁπάσας ταύτας ἄκρως κατορθώσει, πῶς οὐκ ἂν ἐπαίνου εἴη ἄξιος παντὸς τυγχάνειν παρὰ πάντων; Τῶν τοίνυν οὕτω πάσας ἄκρως κατωρθωκότων τὰς ἀρετὰς εἷς ἐστι καὶ ὁ νῦν ἡμῖν προστεθεὶς εἰς εὐφημίαν, ὁ θεῖος φημι Μακάριος, οὐ μόνον οὐδ' ὁπωστιοῦν τῆς τῶν παλαιῶν ἐκείνων ἀνδρῶν λειπόμενος ἀρετῆς, ἀλλὰ καὶ μάλιστ' ἐκείνοις ἰσούμενος. Ταῖς τούτου τοιγαροῦν πράξεσιν ἐμοὶ νῦν ἐπιβαλεῖν πειρωμένῳ, ὀκνεῖν καὶ δεδιέναι τὸ μέγεθος ἐμποιεῖ καὶ τὴν ἐγχείρησιν ὡς ἐργώδη καὶ ἰσχυρὰν ἀναβάλλεσθαι· ὥστε καὶ σιγὴν εἱλόμην ἄν, εἰ μή τις ἔρως ἔφλεγέ μου τὴν ψυχὴν καὶ πρὸς τὸν ἀγῶνα τοῦτον ἄκοντ' ὡς εἰπεῖν ἤλαυνεν. Ἐπεὶ τοίνυν ζῆλόν τινα οὐ μικρὸν καὶ μίμησιν ἀρίστην ταῖς τῶν εὐσεβῶν ψυχαῖς προξενοῦσιν αἱ τῶν ὁσίων ἀνδρῶν πράξεις, δεῖν ἔγνων ὡς οἷόν τε γραφῇ παραδοῦναι τὰ τούτου γενναῖα κατορθώματα, ἢ τὴν ἀξίαν εὐφημίαν ἀποδιδόναι ζητῶν μὴ ξὺν τῇ γιγνομένῃ κατὰ τὸ εἰκὸς προθυμίᾳ τὴν ὀφειλὴν ἐκτινύναι. Τῶν ἐπαίνων τοίνυν ἅπτεσθαί με βουλόμενον τοῦ μεγάλου, οὐδενὸς οἶμαι τῶν ἄλλων πρὸ τῆς πατρίδος χρεὼν μεμνῆσθαι· ἐπεὶ καὶ νόμος ἐγκωμίων τούτῳ γε τῷ τρόπῳ κεχρῆσθαι.

§ 2. Πατρὶς τοιγαροῦν τῷ κλεινῷ φημι Μακαρίῳ πολίχνιόν τι περὶ τὴν Ἕω κείμενον (Σαμψῶν ὄνομα) κατὰ τὴν Ἀσίαν, περὶ τὴν περιφανῆ μητρόπολιν Ἔφεσον[1], ὅπερ ὁ γενναῖος ὡς φασιν ἐκεῖνος καὶ ἰσχυρὸς ἐδείματο Σαμψών, οὗ δὴ καὶ τὴν κλῆσιν εἰλήφει, ὡς κἀπὶ πόλεων μυρίων τοῦτό γε συμβεβήκει[2]. Καὶ ἵνα τοῦτο σαφέστατα δείξωμεν, Ῥωμύλος καὶ Ῥῶμος τὴν παλαιὰν Ῥώμην ἐδείμαντο ἐξ αὐτῶν τῶν κρηπίδων, τοιγαροῦν καὶ Ῥώμην ὠνόμασαν, ἡ δὲ πρὸς ἀντιδιαστολὴν ταυτησὶ Νέα Ῥώμη κληθεῖσα, τὸν μέγαν ἐν βασιλεῦσι καὶ ἰσαπόστολον Κωνσταντῖνον εὐτύχισεν οἰκιστήν, παρ' οὗ καὶ τὴν ἐπωνυμίαν ἔσχεν· Ἀλεξάνδρεια δὲ πάλιν, τὸν μέγαν Ἀλέξανδρον τὸν ἐξ Ὀλυμπιάδος φύντα, Θεσσαλονίκη δ' ἡ τοῦ Ἀλεξάνδρου τοῦδε καὶ Κλεοπάτρας ἀδελφὴ τὴν ἑαυτῆς ἐπώνυμον ἔκτισε Θεσσαλονίκην, Πέλλην πρότερον ὠνομασμένην[1]. Τὸν αὐτὸν δὴ τρόπον καὶ ἡ Ὀρεστιὰς πόλις, ἣν Ἀδριανὸς ὁ βασιλεὺς κτίζησι, πάλαι μὲν τὴν τοῦ Ὀρέστου τοῦ ταύτης οἰκιστοῦ ἐπωνυμίαν ἔσχεν, ὕστερον δὲ πάλιν τοῦ ταύτην αὐξήσαντος[2]· τὴν μεγάλην δ' Ἀντιόχειαν αὖθις, τήν τε Ἡράκλειαν καὶ Σηλυβρίαν, τὴν μὲν ὁ Ἀντίοχος, τὴν δὲ ὁ Ἡράκλειος, τὴν δ' ὁ Σήλας[3] ἐκ θεμελίων ἐδείμαντο. Οὕτως ἄρα καὶ ἡ τοῦ Σαμψῶν πολίχνη τοῦ ἰσχυροῦ τὴν ἐπωνυμίαν ἐξ ἐκείνου εἰλήφει. Πατὴρ δὲ καὶ μήτηρ, ἡ δυὰς τῶν γεννητόρων, εὐσεβεῖς καὶ πιστοὶ καὶ ἀποχρώντως τὴν κατὰ κόσμον σχόντες περιφάνειαν (τὸ γὰρ γένος, ὡς ἔπος εἰπεῖν, φατρία τις ἦν ἱερὰ Θεῷ ἀνέκαθα(sic) ἀφωσιωμένη, ξύμπασά γε τελοῦσα εἰς ἱερέας τε καὶ μονοτρόπους) παρέχοντες τῷ παιδὶ σπέρματα εὐσεβείας οἴκοθεν, ὡς μὴ μόνον εἰς πεντήκοντα καὶ ἑξήκοντα τὸν σπόρον αὐξῆσαι, ἀλλὰ καὶ εἰς ἑκατὸν κατὰ τὸν θεῖον χρησμόν[4].

§ 3. Οὗτος τοίνυν ἐκ τούτων προελθὼν καὶ τῷ τοῦ θείου βαπτίσματος ἀναγεννηθεὶς φωτί, πρὸς τῶν γεννητόρων ἀφιεροῦται Θεῷ, καθάπερ ὑπὸ τῆς Ἄννης ὁ Σαμουήλ. Ἔτι δὲ παιδικῆς ἡλικίας ἡμμένος, οὐδ' ὁπωστιοῦν κατὰ παῖδας ἔσχε τὴν σύνεσιν, ἀλλ' ἐκ πρώτης (ὅ φασι) γραμμῆς ὑποῖος ἂν οὐ γένοιτο τὴν τῶν ἠθῶν κατάστασιν εἶχε παρασημαίνουσαν· ἐξεδέδοτο γὰρ γραμματιστῇ καὶ τὴν τῶν θείων γραμμάτων ἐδιδάσκετο τέχνην. Ἐπεὶ δ' εἰς μέτρον ἡλικίας ἐληλύθει, οὐχ ἡττήθη τῆς ἀνάγ-

---

1. Ἐν τῷ κώδικι «Τοῦ αὐτοῦ λόγος» κτλ.

1. Σαμψῶν πολίχνιον]. Ἐνταῦθα ἐννοεῖται, κατ' ἐμέ, ἡ ἀρχαία Πριήνη, καλουμένη τανῦν ὑπὸ μὲν τῶν Τούρκων Samsoun-kaleh (ἴδε *Texier*, Asie Mineure σ. 343), ὑπὸ δὲ τῶν χριστιανῶν Παλάτια τοῦ Σαμψῶντος (ἴδε Δ. Εἰρηνίδου, Τὰ ἐν Νέᾳ Ἐφέσῳ. Ἐν Ἀθήναις, 1877, σ. 84 ἐν ὑποσημ.). Παρὰ τὰ ἐρείπια δὲ τῆς Πριήνης κατωτέρω αὐτῶν, κεῖται χωρίον τουρκικὸν καλούμενον ἐπίσης Samsoun. Ἐν ἔτει 1878 περιηγήθην τὸν τόπον τοῦτον. Ἴδε τὸ ἐμὸν ἐπιγραφικὸν ἄρθρον ἐν Mittheil. d. DAI τόμ. Ε' σ. 340). Καὶ τὸ ὄρος δὲ Μυκάλη ἐντεῦθεν καλεῖται Samsoun-dagh.

2. Ὑπερβολικῶς ὁμιλεῖ ἐνταῦθα ὁ συγγραφεύς, ὅστις ἄγνωστόν μοι πόθεν παρέλαβε τὴν περὶ Σαμψῶντος πληροφορίαν του, ἐκτὸς ἐὰν ὑποτεθῇ, ὅτι δημοτικὴ ἀμάθεια ἐξέλαβε τὰ τοῦ ναοῦ τῆς Πριήνης ἐρείπια ἔργον τοῦ τῆς Π. Γραφῆς γιγαντος. Ἑτέρα ὁμώνυμος πόλις ἐστὶν ἡ ἀπὸ Βυζαντινῶν καὶ νῦν Σαμψῶν καλουμένη ἀρχαία Ἀμισός.

1. Λίαν ἐσφαλμένη γνώμη· ἡ Θεσσαλονίκη οὐδὲ Θέρμη ἐκαλεῖτο πρότερον, κατὰ τὸν κ. Μ. Δήμιτσαν. Ἴδε Μακεδονικῶν Β', σ. 269-270 ἐν ὑποσημειώσει 1 καὶ ἰδικώτερον ἐν Ἡμερολογίῳ τῆς Ἀνατολῆς ἔτους Δ', 1885, σ. 1-9.

2. Καὶ Φιλόθεος ὁ Κων/πόλεως ἐν τῷ ἐγκωμίῳ Γρηγορίου Παλαμᾶ (Migne, Patrolog. τ. 151, σ. 644) λέγει· «ἀνὴρ καὶ γάρ τις Ὀρεστιάδος μὲν τῆς πόλεως ἄποικος ὤν, ἣν Ἀδριανὸς ἐπισκευασάμενος ὕστερον, τὴν ἐπωνυμίαν ἐξ αὐτοῦ φέρων δέδωκε».

3. Οὕτως ἐν τῷ κώδικι· τὴν γραφὴν ταύτην τηρῶ, εἰ καὶ ὁ Φιλόθεος ἐν τῷ εἰς ἅγιον Ἀγαθόνικον ἐγκωμίῳ (Migne, Patrolog. τ. 154, σ. 1232, 1237) ὀνομάζει τὴν Σηλυμβρίαν πόλιν τοῦ Σήλυος. Τούτῳ δὲ τὴν κτίσιν τῆς πόλεως ἀποδιδόασι καὶ Νικόλαος ὁ Δαμασκηνὸς (Frang. hist. graec. III, σ. 379) καὶ Συμεὼν ὁ Λογοθέτης (p. 706) καὶ τὸ Ἀλεξανδρινὸν Χρονικὸν (p. 389). Πρβλ. Σ. Ἀριστάρχου, Περί τινων ἀνεδότων ἐπιγραφῶν ἐν Ἑλλ. Φιλολογ. Περισω. τ. Δ', σ. 10 11.

4. Ματθ. 13, 8. Μάρκ. 4, 8. Λουκ. 8, 8.

κης, ἧς τὸ σθένος ἀνίκητον εἶναί φασι ποιηταί, ἀλλ' ἄκων παρὰ τῶν τεκόντων γυναικὶ ζεύγνυται, καθάπερ Μωϋσῆς ὁ μέγας τὸ παλαιόν, καὶ Ἰωάννης ὁ τῇ Ἀλεξανδρέων ὕστερον καὶ Σπυρίδων ὁ θεῖος· καὶ πολλοὺς ἂν ἑτέρους εὕροι τις, εἰ τὰς πάλαι βίβλους ἐλίττειν ἐθέλει.

§ 4. Σωφροσύνην μὲν οὖν κἂν τῷ κόσμῳ τοσοῦτον ἀσπαζόμενος ἦν καὶ περὶ πλείστου ποιούμενος καὶ οὕτω πασῶν ἀντιποιούμενος ἀρετῶν, ὡς μηδ' ἀμφισβητεῖν ἔχειν ἐκείνῳ τοὺς τοῦ κόσμου χωρίσαντας ἑαυτοὺς καὶ τῷ Θεῷ τὸν βίον καθάπαξ ἀφιερώσαντας, ὧν τὸν βίον καὶ τὴν δίαιταν αἰεὶ (κατὰ τὸν Ψαλμῳδὸν) ἐδίψα καὶ ἐπεπόθει *ὡς ἔλαφος παρὰ τὰς πηγὰς τῶν ὑδάτων*[1]· ὅθεν καὶ τῆς ἐκκλησιαστικῆς διακονίας καταξιοῦται, προϊὼν καὶ τοῦ τῆς ἱερωσύνης ἀξιώματος. Ἕτος τοίνυν ὅλον διατρίψας ἐν κόσμῳ, ἐπεὶ καὶ ἡ σύζυγος μετέστη πρὸς τὰς ἐκεῖσε μονάς, τοῖς σπουδαιοτάτοις καὶ καλλίστοις τῶν Ναζιραίων[2] φέρων ἑαυτὸν δίδωσι, παρ' ὧν τὰ τῶν μοναχῶν ὑπενδύς καὶ τὴν τούτοις σπουδὴν καὶ μελέτην ἐν εὐλαβείᾳ καὶ ταπεινώσει κομιδῇ διδαχθείς, κατώρθου καὶ διήνυεν, οἷά τις τῶν ἀρίστων καὶ ἀκριβῶν, τὴν μονότροπον ὄντως ὁδόν, νηστείᾳ δηλαδὴ καὶ χαμευνίᾳ, ἔτι γε γυμνότητι καὶ κακουχίᾳ σώματος ὅτι μάλιστα κεχρημένος. Ἐπεὶ δὲ τοῦ πάντων καλλίστου καὶ μεγίστου τῶν ἀγαθῶν τετύχηκε, λέγω δὴ φιλοσοφίας (φιλοσοφίαν δέ φημι οὐ τὴν ἐν στροφαῖς λόγων καὶ συλλογισμῶν καὶ αἰνιγμάτων καὶ προβλημάτων καὶ συμπερασμάτων καὶ δεινότητι λόγων, τὴν Ἀριστοτέλους φημὶ καὶ τὴν τοῦ Ἀριστωνος Πλάτωνος, ἣν Παῦλος ὁ *μέγας σοφίαν καταργουμένην* ὠνόμασεν[1], ἀλλὰ τὴν ὄντως φιλοσοφίαν, τὴν τὸ φθαρτὸν ἀπαθανατίζουσαν καὶ ἀναβιβάζουσαν πρὸς οὐρανὸν τοὺς κεκτημένους αὐτήν), τηνικαῦτα μικροῦ δέω λέγειν ἄτροφος ἐωρᾶτο καὶ ἐπὶ τοσοῦτον[2] τῆς πικρᾶς δεσποίνης γαστρὸς κεκράτηκεν, ὅσον πάντες δουλεύουσι ταύτῃ σχεδόν. Τάς γε μὴν πλησμονὰς καὶ κόρους καὶ καρυκείας τοσοῦτο κατέπτησε καὶ ἐμίσησεν ὅσο πάντες ἀσπάζονται, τροφὴ δὲ ἦν αὐτῷ ἄρτος καὶ ἅλες, προσέτι δὲ καὶ βοτάνη ἡ παράδοξος καρυκεία, καὶ τὸ ποτὸν ὕδωρ, ὃ πηγαὶ καὶ κρῆναι ἀφθόνως ἀναδιδόασιν, ἔστι δ' ὅτε καὶ οἶνος οὐκ εὐώδης καὶ ἀνθοσμίας, ἀλλ' ἐκτροπίας τε καὶ ὀξίνης· τριβώνιον δὲ περιεβέβλητο, καὶ τοῦτο ῥερικνωμένον, καὶ πᾶν μέλος ἐρρύθμιζεν ἀπομαραίνων τὴν τοῦ σώματος φλόγα ἐξ ἐγκρατείας καὶ τοῦ μὴ τρυφᾶς διώκειν ὡς οἱ πολλοί. Οὐ γάρ ἐστιν, οὐκ ἔστιν ὅστις μὴ τοιοῦτον ἑλόμενος βίον δυνηθείη ἂν περιγενέσθαι τῶν σαρκικῶν ἡδονῶν καὶ παθῶν, ὥσπερ οὐδ' εἰς πῦρ ἐμβὰς δύναιτ' ἂν ἀνέπαφος μεῖναι τῆς ἐκεῖθεν ἐκπεμπομένης φλογός· ὁ γὰρ ἀνέσει καὶ τρυφῇ καὶ βλακίᾳ ἐκδοὺς ἑαυτὸν ῥᾳδίως ἐγείρει καθ' ἑαυτοῦ τὰς τῆς σαρκὸς ἡδονάς.

§ 5. Τῷ τοίνυν μεγάλῳ φημὶ Μακαρίῳ τὰ τῶν μοναχῶν ἐνδυσαμένῳ ἐν τῷ τοῦ Ἀάτρου φροντιστηρίῳ, κἀκεῖσε καὶ τῆς ἡσυχίας ἁψαμένῳ, οὐκ ἔστιν εἰπεῖν ὅσους ὑπερβαλέσθαι περιεγένετο[3].

1. Ψαλμ. 41, 1.
2. Τοῦ ὀνόματος τούτου ἐν τῇ αὐτῇ ἐννοίᾳ χρῆσιν ποιοῦνται καὶ ἕτερα συγγραφεῖς τῆς ΙΔ' ἑκατονταετηρίδος, ὡς Ἰωάννης ὁ Καντακουζηνὸς (Ἱστορ. σ. 248, 330) καὶ Νικηφόρος Γρηγορᾶς (Ἱστορ. βιβλ. XXXVI, σ. 513)· ὁ ἱστορικὸς δὲ οὗτος ἐν βιβλίῳ XVIII, σ. 896 λέγει τὰ ἑξῆς· «ἀσχολεῖσθαι περὶ θεραπείαν τινὰ κατεπουδασμένην τῶν Ναζιραίων ἐκείνων καὶ νέων δογματιστῶν, ὅσοι τε περὶ σφᾶς ἐπίσκοποι καὶ ὅσοι πρεσβύτεροι, καὶ πᾶσαν ἁπλῶς εἰπεῖν ἐκείνων ἡλικίαν». Οὐχ ἧττον τὸ ὄνομα τοῦτο ἐν τῇ αὐτῇ ἐννοίᾳ ἁπαντᾷ συνεχῶς καὶ ἐν συγγραφεῦσι προγενεστέροις. Ἴδε π. χ. Ψελλὸν ἐκδ. Σάθα (Μεταιων. Βιβλιοθ. τ. Ε', σ. 159) καὶ Ἑκατοντ. τοῦ αὐτοῦ (Μεταιων. Βιβλ. τ. Δ', σ. 207), ἔνθα ἀναγινώσκονται τὰ ἀκόλουθα· «λέγω δὲ τοὺς καθ' ἡμᾶς Ναζιραίους, οἱ πρὸς τὸ θεῖον μεταπλαττόμενοι, μᾶλλον δὲ νομοθετούμενοι καταπλάττεσθαι, πρὶν ἢ τὴν ἀνθρωπίνην φύσιν ὑπεξελθεῖν ὡς ἡμίθεοί τινες παρ' ἡμῖν ἀναστρέφονται, καὶ τῶν μὲν ἄλλων κατολιγωροῦσι τοῦ θείου· οὔτε γὰρ ψυχὰς πρὸς τὰ κρείττω ῥυθμίζουσιν, οὐ τὰ ἐν ἡμῖν πάθη κοιμίζουσιν, οἷ τοῖς μὲν ἐντιθέασι χαλινόν, τοῖς δὲ οἷα κέντρα τοὺς λόγους ἐπάγουσιν, ἀλλὰ ταῦτα ὡς μικρὰ παραβλέποντες, οἱ μὲν χρησμολογοῦσι τὴν πρόρρησιν καὶ τὸ θεῖον ἐξαγγέλλουσι βούλημα, οἱ δὲ καὶ τοὺς πεπηγότας ὅρους μετατιθέασι, καὶ τοὺς μὲν ἀναλύουσι, τοῖς δὲ προστιθέασιν, ἀπαθανατίζουσί τε τὴν μερικὴν φύσιν καὶ ἱστῶσιν ἡμῖν τὴν φυσικὴν κίνησιν, βεβαιοῦσι δὲ τοὺς αὐτῶν λόγους, ὅτι σιδηροφοροῦσιν ἀεὶ κατὰ τοὺς παλαιοὺς Ἀκαρνᾶνας, καὶ αἰθεροβατοῦσιν ἐπὶ χρόνον μακρόν, ἀφ' ὧν κατοικεῖνοῦσι τάχιστα, ἐπειδὰν ἐπιγείου αἴσθωνται κινήσης· ὁποίους ἐγὼ πολλάκις ἑωράκειν» κτλ.

1. Πρβλ. ἐπιστ. πρὸς Κορινθ. α', 1, 6.
2. Ἐν τῷ κώδ. ἐπιτοσοῦτον.
3. Ἀάτρος = Ἀάτμος. Ἴδε περὶ αὐτοῦ Ι. Σακκελίωνος σημειώσεις ἐν Πανδώρας τόμ. Ιϛ', σ. 47-48 καὶ ἐν Ἀκολουθίᾳ τοῦ ὁσ. Χριστοδούλου ἐκδ. Κ. Βοΐνη, σ. 66, ἐν ὑποσημ. 5. Μία τῶν ἐν Ἀάτρῳ μονῶν ἐλέγετο ἡ τῶν Κελλιβάρων, ἧς προέστη ὁ τῇ 13 δεκεμβρίου ἑορταζόμενος ὅσιος Ἀρτένιος. Κατὰ δὲ τὴν ὑπὸ Νεο-

Ἀπάρας δ' ἐκεῖθεν τὸ τοῦ Κρίτζου[1] κατέλαβε, κἀκεῖ πάλιν πάντας (ὡς ἔπος εἰπεῖν) ὑπερβαλὼν κατὰ πᾶσαν ἀρετῶν ἰδέαν, καὶ μέγιστος ἀναφανεὶς τῇ τῆς ψυχῆς λαμπρότητι καὶ ὅλος τοῦ Πνεύματος γεγονώς, σκεῦος ὤφθη καθαρώτατον ὡς δέχεσθαι καὶ ἀπολαύειν τοῦ ξυγγενοῦς φωτός, οὗ χορηγὸς Θεὸς τοῖς οὕτως ἔχουσι. Καθαρθείσης τοίνυν αὐτῷ τῆς ψυχῆς, καθαγνισθέντος δὲ καὶ τοῦ σώματος, συνήφθη Θεῷ τῷ ἀκροτάτῳ καὶ τρισηλίῳ φωτί, ὡς καὶ πάντες οἱ καθαροὶ τῇ καρδίᾳ, καὶ ὅλος τοῦ πνεύματος ἐγεγόνει, ἄνω τὸ ὄμμα ἔχων ἀεὶ καὶ εἰς εὐχὴν ἀκατάπαυστον· ἑπτάκις γὰρ τῆς ἡμέρας (κατὰ τὸν Ψαλμῳδὸν) ᾖνει τὸν Κύριον[2], μᾶλλον δ', εἰ χρὴ τό γε ἀληθέστερον εἰπεῖν, ὅλας νύκτας σχεδὸν καὶ ἡμέρας ἐν ταύτῃ προσκαρτερῶν ἦν *ὀρθοστάδην, ἄυπνος, οὐ κάμπτων*[3] *γόνυ*, εἶπεν ἂν ποιητής[4]· εἰ δέ που καὶ ὕπνου μετείληφε, βραχύτατος ἦν, καὶ τούτου γε οὐκ ἄνευ νήψεως γραφικῶς εἰπεῖν, *ἐγὼ καθεύδω καὶ ἡ καρδία μου ἀγρυπνεῖ*[5]. Ἀλλὰ τίς ἂν τῶν ἐκείνου καλῶν τὸ πλῆθος ἐξαριθμήσειε; τίς δὲ δύναιτ' ἅπαντα κατ' ἀξίαν ὑμνῆσαι; Ἀλλ' ἰτέον ἤδη ἐπὶ τὸ πρόσω.

§ 6. Ἐν τούτοις οὖν τοῖς χώροις ὄντι τῷ ἁγίῳ καὶ φιλοσοφοῦντι καὶ περὶ πάσας ἀρετὰς καταγινομένῳ τε καὶ ἀσχολουμένῳ, ἐξαίφνης, ὥσπερ ὀστράκου μεταπεσόντος, ἔθνος φανὲν κατάκει πάντα Μυσῶν λείαν πεποιημένον, εἰδόσι λέγω τὸ τῶν Ἰσμαηλιτῶν, ἐπεὶ οὐκ εἶχεν ὁ μέγας ὅστις καὶ γένηται, εἰς τόν δεύτερον βλέψαι συμβέβηκε πλοῦν καὶ πρὸς τὴν βασιλίδα τῶν πόλεων ἀφικέσθαι κατὰ τὴν Σωτῆρος φωνήν, *ἐὰν διώκωσιν ὑμᾶς ἐκ τῆσδε τῆς πόλεως φάσκουσαν φεύγετε εἰς ἑτέραν*[6]. κἀνταῦθ' εὐρηκὼς νεὼν τῆς παναχράντου καὶ θεομήτορος τοῦ Καλλίου[1] κατονομαζομένης, πατριάρχου ἁγίου Ἀντωνίου μοναστῶν οἰκητήριον ὄντα, θαύματος καὶ ἐκπλήξεως γέμοντα καὶ ἡδονῆς τῷ τε κάλλει καὶ μεγέθει, καὶ τὸ δὴ κάλλιστον ἐν μέσῃ τῇ βασιλευούσῃ τῶν πόλεων, ὃς πρότερον ταῖς τῶν Ἰταλῶν χερσὶν ἀπημαύρωτο καὶ τοὺς περιβόλους ἠφάνιστο, τὴν οἴκησιν ἐν αὐτῷ ἐποιήσατο[2].

§ 7. Πρὸς πολλὰ τοίνυν καὶ ἕτερα φροντιστήρια προσκαλούμενος ὁ μέγας, ὡς δῆθεν αὐτὸν οἰκειούμενα διὰ τὴν τῶν προδηλωθέντων μονῶν ἄσκησιν, οἷον εἰς τὴν τοῦ Στουδίου μονήν, τοῦ Βαπτιστοῦ φημι Ἰωάννου[3], καὶ τὴν τοῦ Βάσσου τοῦ θείου (τῆς παναχράντου καὶ θεομήτορος), οὗ πρὸ βραχέος τοὺς ἀσκητικοὺς ἀγῶνας καὶ ἱδρῶτας γραφῇ παραδέδωκέ τις τῶν ἀρίστων καὶ ἐλλογίμων ἀνδρῶν[4], ἔτι γε μὴν καὶ εἰς τὴν τῆς

1. Πρβλ. Δουκαγγίου, Const. Christ. II, σ. 107. Ἐν κώδικι τῆς ἐν Μονάχῳ Βιβλιοθήκης (Hardt, Catal. cod. MSS. bibl. Reg. Bavar. τ. I, σ. 49) ἀναγινώσκεται «βίος τοῦ ἐν ἁγίοις πατριάρχου Κων/πόλεως Ἀντωνίου τοῦ τὴν μονὴν τοῦ Κ ά λ λ ε ω ς συστησαμένου». Πρβλ. Fabricii, Bibl. Gr. τ. X, σ. 497.—Νικοδήμου, Συναξ. τ. Δ', σ. 454, ἐν ὑποσημ. ἐκδ. Φιλαδελφέως.
2. Ἴδε τὰς σχετικὰς μαρτυρίας ἐν Α. Πασπάτη Βυζαντ. Μελέτ. σ. 343. Παράβαλε τὴν 4 σημείωσίν μου.
3. Ἴδε Α. Πασπάτη, Βυζαντ. Μελέτ. σ. 343 κ.ἑ.
4. Ἀγνοεῖται μοι εἰσέτι τίς ὁ παρὰ Φιλοθέῳ ἀναφερόμενος συγγραφεὺς τῶν ἀσκητικῶν ἀγώνων καὶ ἱδρώτων τοῦ θείου Βάσσου, ὅστις φαίνεται ἦν μεταγενέστερός τις ὅσιος καὶ οὐχὶ ὁ ἐπὶ τοῦ Μ. Ἰουστινιανοῦ ἀκμάσας ἀνεπίληπτος ἔπαρχος τῶν πραιτωρίων Βάσσος (κεφ. ΚΑ', 6' Προκοπ. Ἀνέκδ.) ὁ δῆθεν ἐν τῇ ἰδίᾳ αὐτοῦ οἰκίᾳ κτίσας ὁμώνυμον ναὸν καὶ μονήν. Ὁ Φαβρίκιος ἀγνοεῖ τὴν ὕπαρξιν ὁσίου Βάσσου (Bibl. Gr. τ. X), ἡ δὲ ὀρθόδοξος καθολικὴ Ἐκκλησία, κατὰ τὸν Συναξαριστὴν τοῦ ναξίου Νικοδήμου, γινώσκει μόνον μάρτυρα Βάσσον, οὗ ἡ μνήμη τελεῖται τῇ 20 Ἰανουαρίου. Ὁ Δουκάγγιος τὴν κτίσιν τῆς μονῆς ταύτης (Const. Christ. II, σ. 106 D) ἀποδίδωσι τῷ προμνησθέντι ἐπάρχῳ Βάσσῳ. Κατὰ δὲ τὸ ὑπ' ὄψει ἡμῶν κείμενον γινώσκεται νῦν θετικῶς, ὅτι ἡ τοῦ θείου Βάσσου μονὴ ἐτιμᾶτο ἐπ' ὀνόματι τῆς παναχράντου καὶ θεομήτορος. Σημείωσαι νῦν, ἀναγνῶστα, ὅτι καὶ ἡ τοῦ Καλλίου μονὴ ἐτιμᾶτο ἐπ' ὀνόματι τῆς παναχράντου καὶ θεομήτορος, καὶ ὅτι, κατὰ τὸν Φιλόθεον «ταῖς τῶν Ἰταλῶν χερσὶν ἀπημαύρωτο καὶ τοὺς περιβόλους ἠφάνιστο». Κατὰ τὸ κείμενον λοιπὸν τοῦτο ὑπῆρχον ἐν Κ/πόλει δύο μοναὶ εἰς τιμὴν τῆς παναχράντου, ἰδιαίτερα διακριτικὰ ὀνόματα φέρουσαι· διὸ δὲν ἐννοῶ πῶς ὁ κ. Α. Πασπάτης τὴν ὑπὸ Παχυμέρη καὶ Γρηγορᾶ ἀναφερομένην ἀνώνυμον μονὴν τῆς Παναχράντου συνταυτίζει τῷ ὀθωμανικῷ εὐκτηρίῳ Φενάρ ἢ Ἡσᾶ-μεστζή δί-

φύτου τοῦ Καυσοκαλυβίτου συντεθεῖσαν ἱστορίαν τῆς μονῆς Σουμελᾶ, τὸ ὄρος Λάτρος καὶ τὴν μονὴν Κελλιβάρων ἐπεσκέψαντο, ἐπὶ Θεοδοσίου τοῦ μεγάλου, οἱ ἐξ Ἀθηνῶν ὅσιοι Βαρνάβας καὶ Σωφρόνιος. Ἴδε τῆς Ἀκολουθίας αὐτῶν σ. 16, ἐκδ. Λειψίας 1775.
1. Ἐννοεῖται ἡ ἐν τῇ Μαγνησίᾳ τῇ ὑπὸ Σιπύλῳ βασιλικὴ καὶ πατριαρχικὴ μονὴ «τὸ Κρύτζος», ἧς διὰ πατριαρχικοῦ ἐντάλματος ἐν ἔτει 1370 διωρίσθη καθηγούμενος ὁ μοναχὸς Μακάριος. (Acta patriarch. II, σ. 539). Ἡ μονὴ δὲ αὕτη, μηνὶ μαΐῳ 1387, ἐδόθη ἐξαρχικῶς τῷ Σμύρνης. Αὐτόθι, II. σ. 96.
2. Ψαλμ. 118, 164.
3. Ἐν τῷ κώδ. οὐκάπτων.
4. Αἰσχύλου, Προμηθ. 32.
5. Ἆσμα Ἄσμ. 5, 2.
6. Ματθ. 10, 23.

Χώρας τῶν Ζώντων[1] παρὰ τοῦ αὐτὴν δειμαμένου ἐξ αὐτῶν τῶν κρηπίδων, λέγω δὴ τοῦ πάντας τοὺς ἐφ' ἡμῶν πλείστῳ δή τινι τῷ μέτρῳ παρενεγκόντος ἐπὶ σοφίᾳ καὶ φρονήσει καὶ ἀρετῇ καὶ πᾶσι τοῖς καλλίστοις διαλάμποντος εἰς ὅσον ἔξεστι ἀνθρωπίνῃ φύσει, τοῦ μεγάλου φημὶ λογοθέτου τοῦ Μετοχίτου[2], τοῦ ὑπὲρ ἄνθρωπον ἀνθρώπου ἀληθῶς, καὶ εἰς τοὺς ἑξῆς δι' ὧν καταλέλοιπε λόγων καθηγεμόνος

Πάνυ μὲν εὐφυῶς ὑποτίθησιν ὁ τῶν Βυζαντινῶν Μελετῶν (σ. 328) σοφὸς συγγραφεύς, ὅτι ἡ μονὴ αὕτη εἶχε καὶ ἕτερον ὄνομα ἄγνωστον ἐν ᾗ ἐποχῇ ἔγραφεν, ἀλλ' ἤδη μανθάνεται τοῦτο ἐκ τῆς § 6 τοῦ κειμένου τοῦ Φιλοθέου, καὶ κατ' ἀκολουθίαν δέον νὰ ζητηθῇ ἡ θέσις τῆς μονῆς Παναχράντου περὶ τὸ Βαλούκ-παζάρ-καπουσοῦ, κατ' αὐτὸν τὸν κ. Λ. Πασπάτην, ἐὰν ἔχῃ δίκαιον ἐν οἷς λέγει, ὅτι «ῥία ἐκαλεῖτο μονὴ τοῦ ἁγίου Ἀντωνίου καὶ ἐνίοτε τοῦ κύρ Ἀντωνίου (Λέοντος Διακ. σ. 76), πλησίον καὶ πρὸς ἀνατολὰς τῆς πάλαι πύλης τοῦ Περάματος, νῦν δὲ Βαλούκ-παζάρ-καπουτσοῦ». (Βυζαντ. Μελέτ. σ. 402). Αὕτη δὲ ἡ τοῦ κύρ Ἀντωνίου μονὴ ἐλέγετο τοῦ Καλλίου, Κάλεως καὶ Καυλέως. — Ἐπὶ πατριάρχου Ματθαίου (1400) ἡ μονὴ τοῦ Βάσσου ἀνεπιμέλητος οὖσα καὶ ἄπορος παρεδόθη τῷ εὐνούχῳ Ἰωάννῃ Καλλικρηνίτῃ ζητήσαντι «ἀναδέξασθαι μίαν τῶν ἐν τῇ βασιλίδι ταύτῃ τῶν πόλεων, θείων καὶ σεβασμίων μονῶν ἐπὶ τῷ συστῆσαι καὶ βελτιῶσαι αὐτὴν ἀπὸ τοῦ βίου καὶ τῆς περιουσίας αὐτοῦ». Ἴδε τὸ ἐπὶ τούτῳ ἐκδοθὲν σιγιλλιῶδες γράμμα ἐν Miklosich et Müller, Acta Patriarch. II, σ. 388-389.

1. Ἴδε τὴν περιγραφὴν τῆς μονῆς ταύτης ἐν Λ. Πασπάτη, Βυζαντ. Μελετ. σ. 326-332, ἰδίᾳ δὲ ἀνάγνωθι τὴν σοφὴν περὶ τῆς μονῆς ταύτης μονογραφίαν τοῦ καθηγητοῦ Ν. Κοντακώβ ἐπιγραφομένην мозаики мечети кахріе-джамисси въ Константинополѣ. съ XII Табл. Рис. Н. Кондакова. Одесса, 1881. Ὁ Κωδινὸς (de Aed. p. 121) λέγει τὰ ἑξῆς περὶ τοῦ ὀνόματος τῆς μονῆς ταύτης: «Ἐκλήθη δὲ Χώρα, διότι τῶν Βυζαντίων χωρίον ἦν ἐκεῖ, καθὰ καὶ ἡ τοῦ Στουδίου μονὴ ἔξωθεν τῆς πόλεως ὑπῆρχε, καὶ ἡ μονὴ τοῦ Ξηροκεράμου». Τὴν ἑρμηνείαν ταύτην τῆς ὀνομασίας Χώρας ἀληθῆ ὑπολαμβάνων ὁ κ. Πασπάτης ποσσπαθεῖ νὰ ἐνισχύσῃ (Βυζ. Μελετ. σ. 326-327). Καὶ εἶναι μὲν ἀληθὲς ὅτι οἱ βυζαντινοὶ χρονογράφοι ὀνομάζουσι τὴν μονὴν ταύτην ἁπλῶς Χώραν, ἀλλὰ φρονῶ ὅτι τοῦτο ποιοῦσι κατὰ συντομίαν, διότι τὸ ἐπίσημον ὄνομα τῆς μονῆς εἶναι «Χώρα τῶν Ζώντων», ὡς ὁρᾶται ἐν τῇ ἐν αὐτῇ σωζομένῃ εἰκόνι τοῦ Μετοχίτου καὶ ἐν τῷ παρόντι κειμένῳ τοῦ Φιλοθέου. Ἡ ἐπίσημος δὲ αὕτη ὀνομασία, ἀναγωγικὴν ὅλως ἔννοιαν ἔχουσα, εἶναι Γραφικὴ πηγάζουσα ἐκ τοῦ Ψαλμοῦ 114, 9.

2. Ἀνάγνωθι τὴν ὑπὸ τοῦ κ. Κ. Σάθα συγγραφεῖσαν ἀξιολογωτάτην βιογραφίαν τοῦ βυζαντινοῦ τούτου λογίου ἐν τοῖς προλεγομένοις τῆς Μεσαιων. Βιβλιοθ. τ. Α', σ. ιθ'-ρλε'.

πεφηνότος καὶ διδασκάλου, οὐδαμῶς ἠνέσχετο, τοῦ Θεοῦ πάντως κωλύοντος, ἐφ' ᾧ τὴν τῆς ἀσκήσεως οἴκησιν ἐνταῦθοι ποιήσασθαι, κἀντεῦθεν αὐξῆσαι καὶ καταστῆσαι πρὸς τὴν προτέραν τάξιν τε καὶ κατάστασιν ταύτην· ὅπερ δὴ καὶ συνέδραμε. — Τοῦτον τοιγαροῦν ἔρημον χῶρον παντάπασιν εὑρηκὼς καὶ διεφθαρμένον, προὔκρινε τῶν ἄλλων εἰς φιλοσοφίας ὑπόθεσιν. Εἰ οὖν καὶ καταθύμιον ἦν τηνικαῦτ' αὐτῷ πρὸς πλάτος δρᾶσαί τε καὶ βελτιῶσαι δι' ἐνίων προαστείων, ὧν βασιλεῖς τε καὶ ἄρχοντες σὺν βίᾳ πολλῇ καὶ ἐπιθέσει προσελιπάρουν παρασχέσθαι καὶ ἠντιβόλουν δεδέχθαι εἰς τὴν τῆς μονῆς ἀφιέρωσιν, μέγιστον ἂν κατειργάσατο· ἀλλ' οὐκ ἦν αὐτῷ προσφιλές, ἵνα μὴ λάθῃ ταῖς πολλαῖς φροντίσι τὸ τῆς ἡσυχίας ἀπολωλεκὼς κάλλιστον χρῆμα. Τούτου δὴ χάριν ἀπώσατο, οἱ δὲ προσγενόμενοι αὐτῷ μαθηταί, ἄνδρες θαυμαστοί τε καὶ θεῖοι, τὸ ὑστέρημα ἐκείνου ἐπλήρωσαν καὶ ηὔξησαν δι' ὧν ἐκεῖνος ἀπώσατο, καὶ περιφανῆ κατέστησαν δι' ὧν ἐκεῖνος οὐδ' ἀκοαῖς ἀκοῦσαι ἠνέσχετο, πλὴν μετὰ τὴν ἐκείνου πρὸς Κύριον ἐκδημίαν· ὧν τὴν ἀρετὴν καὶ τὸν τρόπον δώσω τῷ λόγῳ πλατύτερον ὕστερον. Τέως δ' οὖν οὗτοι ἀναμεινάτωσαν. Ἐν ᾧ δὴ κατοικήσας τῆς συνήθους ἥπτετο φιλοσοφίας καὶ τῆς συνιούσης διαγωγῆς, καὶ τοῦτο μὲν νηστείαις καὶ προσευχαῖς, τοῦτο δὲ κόποις καὶ βίαις φύσεως καὶ δυσχερείαις ἁπάσαις ἑαυτὸν ἐκδιδοὺς κατέτηξε λίαν τὰς τῆς σαρκὸς κινήσεις καὶ ἡδονάς· τοσοῦτον γὰρ ἐπέδωκεν ἑαυτὸν πρὸς ταῦτα, ὡς καὶ σώματος ἔξω δοκεῖν εἶναι διὰ τὸ τῆς διαίτης ὑπερβάλλον· τὴν γὰρ ἐν Χριστῷ κεκρυμμένην ἔζη ζωήν· διὰ τοῦτο δὴ καὶ αὐτός (κατὰ Παῦλον) ἔλεγε, *ζῶ μὲν οὐκέτι ἐγώ, ζῇ δὲ ἐν ἐμοὶ Χριστός*[1], καθὰ καὶ ἀλλαχοῦ φησιν· *ὅσῳ ὁ ἔξω ἡμῶν ἄνθρωπος διαφθείρεται, τοσούτῳ ὁ ἔσω ἀνακαινοῦται ἡμέρᾳ καὶ ἡμέρᾳ*[2]. Οὐκοῦν πάσης μὲν ἀπεῖχε τρυφῆς, ἐγκράτειαν δὲ περὶ πλείονος ἦγε καὶ ἀνάγνωσιν καὶ μελέτην διηνεκῆ τῶν θείων λογίων· ἀναγνωστέον γὰρ ἔλεγε μᾶλλον ἢ ἀναπνευστέον. Πᾶσαν δ' ὄνησιν ἐκ τούτων συλλεξάμενος, μέγιστος ἐν πᾶσι γεγένηται· τῶν γὰρ παλαιῶν ἐμιμεῖτο καὶ λόγον καὶ πρᾶξιν καὶ ζῆλον, ἕως ἐκόσμησε καὶ κατέστησεν ἑαυτὸν οἷον ἔδει τὸν ἐραστὴν τῶν Ὀλύμπου πραγμάτων, ἡδονῶν δὲ καὶ ἀνέσεων τοῖς βουλομένοις παρεχώρησε καὶ οἱονεὶ τοῦ Πνεύματος δοχεῖον

1. Πρὸς Γαλάτ. 2, 20.
2. Πρὸς Κορινθ. β', 4, 16.

γεγένηται καὶ σκεῦος ἐκλογῆς κατὰ τοὺς ὑστάτους καιρούς, ἔτι δὲ κορωνὶς καὶ κολοφὼν καὶ τύπος καὶ κανὼν καὶ ἐκμαγεῖον τῶν ὑστάτων μὲν ἐνθέων καὶ θαυμαστῶν μονοτρόπων, κατὰ πάντα δ' ὅμοιος τοῖς πάλαι ἀσκήσασι καὶ διαπρέψασι τῇ κατὰ Θεὸν πολιτείᾳ. Τοιοῦτος ἦν τὰ πρὸς τὸν Θεόν, τοσοῦτος τὴν ἐγκράτειαν, τηλικοῦτος τὴν ἄσκησιν, ἐπεὶ καὶ ἐσαεὶ προσετέτηκει ταῖς προσευχαῖς ἀναβάσεις ποιούμενος, τῇ θείᾳ καὶ σεβασμίᾳ ἐκείνου ψυχῇ σφόδρα γε προσηκούσας, καὶ τὴν χρυσῆν τῶν ἀρετῶν ἐπιστημόνως πλέκων σειρὰν καὶ τοῖς πολλοῖς ἄπλοκον· εὖ γὰρ λέγειν καθ' ἕκαστα κατὰ μέρος διὰ τὸ πλῆθος τῶν ἐκείνου καλῶν.

§ 8. Ἐπεὶ οὖν οὕτω ταῦτα καλῶς εἶχε, καὶ Θεός, βουλόμενος καὶ ἐπευδοκῶν ἄνωθεν δεῖξαι ἀριδήλως τὸν ἑαυτοῦ θεράποντα, ἐπὶ τὴν λυχνίαν τίθησι (κατὰ τὴν αὐτοῦ φωνὴν)[1] τὸν φαεινὸν ἀστέρα, ἐφ' ᾧ φωτίσαι καὶ καταυγάσαι πλείους καὶ μὴ καθ' ἑαυτὸν μόνην τὴν ὤνησιν ἔχειν. Πανταχῇ τοίνυν τῆς φήμης διαδραμούσης, συνέρρεε πρὸς αὐτὸν πᾶσα σχεδὸν ἡλικία, πλούσιοι δηλαδὴ καὶ πένητες ὠφελείας ἕνεκα, πρὸς δὲ τούτοις καὶ βασιλεὺς ὁ πάνυ, Ἀνδρόνικόν φημι Παλαιολόγον γηραιὸν τὸν μέγαν, τὸν ἀγχινοίᾳ καὶ φρονήσει τοὺς ὑφ' αὐτοῦ βασιλέας πλείστῳ δή τινι τῷ μέτρῳ παρενεγκόντα καὶ βασιλικῆς μεγαλοπρεπείας ἀκμῇ, καὶ ὡς ἐν κεφαλαίῳ φάναι, τῆς εὐσεβείας τὸν στύλον καὶ θερμότατον πρόμαχον καὶ φιλορώμαιον αὐτοκράτορα. Συνέτρεχον δ' ὁμοίως φοιτῶντες παρ' ἐκεῖνον καὶ ὅσοι καθ' αἷμα προσῳκειωμένοι αὐτῷ· γνωστὸς γὰρ ὑπῆρχε τῷ τοιούτῳ μεγίστῳ βασιλεῖ ἐξ Ἕβρας, ἔτι δὲ καὶ πᾶσα σχεδὸν ἡ σύγκλητος, καὶ ὅσοι τῆς ἥττονος μοίρας κατὰ πᾶσαν ἡλικίαν. Αὐτίκα τοίνυν ἰδόντες τὸν μέγαν καὶ τῶν αὐτοῦ θείων ἐκείνου λόγων καὶ παραινέσεων ἀπολελαυκότες, πάνυ τοι δι' ἐπαίνου καὶ θαύματος ἦγον ἐκεῖνον, καί, ὡς ἔπος εἰπεῖν, μέγιστον θησαυρὸν ᾤοντο καὶ λίθους τιμίους ὡς ἀληθῶς εὑρηκέναι μιᾷ φωνῇ προσμαρτυροῦντες διωμολόγουν. Διδασκαλίας μεγίστας καὶ παραινέσεις πρὸς αὐτοὺς ἐποιεῖτο δι' ἃς ἐξέπλητεν ἅπαντας ἀτεχνῶς· πάντα γὰρ εἶχεν ὁ μέγας ὡς ἀληθῶς αὐτοφυῆ τε καὶ (ὡς εἰπεῖν) αὐτοχάλκευτα, λέγω δὴ κράτος συνέσεως, ἦθος εὔκοσμον, εἶδος ξένον τε καὶ θαυμάσιον καὶ οἷον ἀγγελικόν, γλῶτταν ἐλεύθερον οὐ τὰ πολλὰ φθεγγομένην καὶ ἀττικίζουσαν, ἀλλ' ὁμαλῶς κινουμένην καὶ ἡδέως καὶ

1. Ματθ. 5, 15. Μάρκ. 4, 21. Λουκ. 4, 16, 11, 33.

προσηνῶς τὴν λυσιτελοῦσαν δρόσον ἱρέμα προχέουσαν καὶ τὰς ψυχὰς τῶν διδασκομένων πιαίνουσαν· ἐπεὶ καὶ τοὺς ἀποκρύφους τύπους τῆς διανοίας διήρχετο τὸ προτὸν ἐκεῖθεν, ὡσανεὶ νᾶμα καὶ πρὸς σωτήριον ὁδὸν λίαν κατήρδευεν.

§ 9. Εἰ δὲ δεῖ κἀνταῦθα κεχρῆσθαι τῇ Καλλιόπῃ (ἀπανταχόθεν γάρ ἐστι χρεὼν τὸν μέγαν ἐγκωμιάζεσθαι) καὶ Ὅμηρος ἔφησεν ἂν ἰδών· *τοῦ καὶ ἀπὸ γλώσσης μέλιτος γλυκίων ῥέεν αὐδή*[1]· ὅθεν, ἄλλοτ' ἄλλοι συνέτρεχον πρὸς αὐτὸν καὶ τῶν τῆς γλώττης καρπῶν ἦσαν ἐπαπολαύοντες. Πρῶτον μὲν γὰρ ἐκεῖνος τοῖς κρατοῦσι παρῄνει περισκοπεῖν ὡς ἐξ ἀπόπτου σκοπιᾶς πάντα τὰ καθ' ἑαυτούς ὅρια, ἵνα μὴ περιπίπτωσι κύμασιν ἀδικίας, καὶ πρὸς τὸ ὑπήκοον ἔχειν εὖ κατὰ τὰ θεῖα θεσπίσματα, πρὸ δὲ πάντων ἀσκεῖν τοὺς τῆς πίστεως ὅρους τηρεῖν μηδὲν ἐπιδεχομένους νόθα καὶ παρέγγραπτα δόγματα τῆς Ἐκκλησίας, κλυδώνια καὶ ναυάγια ἐπιφέροντα· πρὸς δὲ καὶ χηρῶν καὶ ὀρφανῶν προΐστασθαι καθὰ πατέρες καὶ κηδεμόνες, τὴν δ' αὖ κρίσιν ἀκίβδηλον καὶ ἀδωροδόκητον διατηρεῖσθαι πρὸς τῶν ἀποτεταγμένων κριτῶν τε καὶ δικαστῶν, καὶ μηδαμῇ μηδαμῶς (κατὰ τὴν παροιμίαν) παραχωρεῖν *βοῦν ἐπὶ γλώττης φέρειν* αὐτοὺς καὶ ὑποκλέπτειν τὸ δίκαιον, μηδὲ πρὸς ἀργύριον φθέγγεσθαι κατὰ τὸ δικάζειν ἐν ταῖς ψήφοις, ὥς φησιν ὁ σοφιστὴς Ἀφθόνιος, μηδὲ κέρμασι τὰ βρώματα ἐπιβύεσθαι[2]. — Πλουσίοις δὲ πάλιν καὶ ἄρχουσι ἀνοίγειν τὰ σπλάγχνα φιλανθρώπως τοῖς πένησι καὶ τοῖς ἀσθενοῦσι καὶ μηδ' ὁπωσοῦν κακῶς κλείειν τὰ σπλάγχνα, εἴ γε βούλοιτο ἑαυτοῖς τὰ τοῦ Θεοῦ σπλάγχνα διανοίγεσθαι κατ' εὐχήν, ἵνα μὴ παρὰ τοῦ προφήτου Ἀμὼς μυκτηρίζωνται ὡς σιτοκάπηλοι, ἄγε νῦν οἱ *λέγοντες φάσκοντος πότε διελεύσεται ὁ μὴν καὶ ἐμπολήσομεν, καὶ τὰ σάββατα καὶ ἀνοίξομεν θησαυροὺς*[3]; καὶ παρὰ τοῦ προφήτου Μιχαίου (γρ. Ἀμὼς) πάλιν, *οὐαὶ τοῖς καταυπατα.λῶσι λέγοντος ἐπὶ κλινῶν ἐλεφαντίνων καὶ τοῖς πρώτοις τῶν μύρων θρυπτομένοις*[4]· καὶ παρὰ τοῦ Πέτρου(;) *αἰσχύνθητε λέγοντος οἱ κατέχοντες τὰ ἀλλότρια καὶ μιμήσασθε ἰσότητα Θεοῦ καὶ οὐδεὶς ἔσται πένης· οὐ γὰρ εἰς τέλος ἐπιλησθήσεται ὁ πτωχός φησιν ὁ Δαυίδ· ἔνεκεν μὲν γὰρ τῆς ταλαιπωρίας*

1. Ἰλιάδος Α, 249.
2. κέρμασι . . . ἐπιβύεσθαι]. Ἴδε Θησαυρὸν Στεφάνου ed. Londini, σ. 2857 d.
3. Ἀμὼς 8, 5.
4. Ἀμὼς 6, 4.

τῶν πτωχῶν καὶ τοῦ στεναγμοῦ τῶν πενήτων, νῦν ἀναστήσομαι, λέγει Κύριος, καὶ οἱ ὀφθαλμοὶ αὐτοῦ ἐπὶ τὸν πένητα βλέπουσι[1], καὶ τὰ παραπλήσια τούτοις. — Τοῖς στρατιώταις μηδὲν παρὰ τὸ διατεταγμένον πράττειν αὐτοῖς, ἀλλὰ τοῖς ἰδίοις ὀψωνίοις ἀρκεῖσθαι καὶ μήτε συκοφαντεῖν μήτε διασείειν, κατὰ τὸν κήρυκα τῆς μετανοίας καὶ τῆς χάριτος Πρόδρομον[2]. Τοῖς πένησί τε καὶ τοῖς ἀσθενοῦσιν εἰσηγείτο, κατὰ τὰ θεῖα παραγγέλματα, εὐχαριστεῖν ἀεὶ καὶ μηδαμῇ μηδαμῶς ἀφεξάναι τούτου, μήτε μὴν κατὰ τοῦ πεποιηκότος Θεοῦ γογγυσμοῦ ῥῆμα φθέγγεσθαι, μήτ' αὖθις κατὰ τῶν μὴ αἱρουμένων σφίσιν ἱλαρῶς ἀνθρώπων ἀπῄδοντά τινα καὶ ἀπρεπῆ λόγον προίεσθαι. Ἵν' κεφαλαίῳ δ' εἰπεῖν, τοῖς πᾶσι τὰ δέοντα δρᾷν παρεκάλει καὶ διετείνετο, ὡς πρὸς κανόνα τὰς ψυχὰς ῥυθμίζειν καὶ μετ' ἰσότητος ἕκαστον ἀπευθύνειν αἱρεῖσθαι, λέγω δὴ τὰς ψυχωφελεῖς αὐτοῦ παραινέσεις. Ταῦτ' ἄρα καὶ πλείω μὲν τούτων ἔλεγε πρὸς τοὺς παριόντας, μηδὲν ὅλως ὑποστελλόμενος. — Πρὸς δὲ τοὺς δεινοὺς τῷ λόγῳ καὶ τῇ σοφίᾳ καὶ δοκοῦντας καὶ ὄντας, μηδὲν εἶναι τὴν καταργουμένην ἐκείνων ἔλεγε σοφίαν πρὸς ὕνησιν τῆς ψυχῆς πρόξενον καὶ σωτηρίαν, μηδὲ θαρρεῖν πρὸς γαύρους καὶ χλιδῶντας λόγους, ἐπειδὴ ταῦτα πάντα μαραίνονται δίκην καλάμης καὶ χόρτου καὶ ἀποτεφροῦνται, μόνον δὲ τὸ τῆς ψυχῆς εὐγενὲς ἀθάνατον ἔχει τὴν εὔκλειαν καὶ μόνιμον οὐδέν ἐστιν ἐνταῦθα, οὐδὲ διαρκὲς οὐδὲ βέβαιον, ἀλλ' ἄνω καὶ κάτω φέρονται καὶ συγχέονται καὶ, συνελόντα φάναι, οἴχεται πάντα τὰ παρόντα καθάπαξ. Οὐδὲ γάρ ἐστιν, οὐκ ἔστιν ἐν τῷ παρόντι σύμφωνον οὐδὲ ἀμετάτρεπτον· ἀλλὰ καθάπερ τις λαῖλαψ ἀθρόον εἰσπνεύσασα λικνίζει τὸν χοῦν ἔνθεν κἀκεῖθεν, κἀντεῦθεν εἰς φθορὰν ἀναπόσπαστον διαλύεται καὶ ἀφανισμόν, οὕτω καὶ κόσμος ἅπας καὶ δόξα πᾶσα ἀνθρώπου· βραχύ γάρ τις φανεὶς ἀπακρύπτεται. Ὅθεν καὶ Πυθαγόρας ἐκεῖνος ὁ Σάμιος[3], οὐ πολὺ κλέος ἐν λόγοις, ἐρωτηθεὶς πόσος ἂν εἴη ὁ τῶν ἀνθρώπων βίος, βραχύ τι φανεὶς ἀπεκρύψατο, ἔργοις οὐ λόγοις δείξας τὸ μέτρον τοῦ βίου· γενεαὶ γάρ ἐσαεὶ ἔρχονταί τε καὶ ἀφανίζονται, καθάπερ κρίνα καὶ φυτὰ καὶ πόα πᾶσα. Διὰ τοῦτο καί τις ἕτερος σοφὸς ἔλεγεν, ὅτι *πᾶσα δόξα ἀνθρώπου ὡς ἄνθος χόρτου· ἐξηράνθη ὁ χόρτος καὶ τὸ ἄνθος ἔπεσε*[1]. Παραπλήσια δὲ τούτῳ καὶ Δαυὶδ φησιν ὁ μέγας ἐν προφήταις καὶ βασιλεῦσιν· *ὡσεὶ χόρτος αἱ ἡμέραι αὐτοῦ, ὡσεὶ ἄνθος τοῦ ἀγροῦ οὕτως ἐξανθήσει*[2]· ἢ γὰρ οὐ μεθίστανται τάχιστα πάντα καὶ ἀφανίζονται; Οὐχ ὁ χθὲς ἡμῖν πλούτῳ μακρῷ κομῶν τε καὶ βρίθων, αὔριον ὁ αὐτὸς οὗτος ἐλεεινὸς καθορᾶται καὶ πένης, ὁ πένης δ' αὖθις καὶ πολλάκις ἐξαίφνης πλούσιος ἀναφαίνεται, ἕτερος δέ τις σήμερον εὐθαλὴς ὢν τῷ σώματι, ἐπανθοῦσαν ἔχων τὴν εὐχροιαν ὑπὸ τῆς κατὰ τὴν ἡλικίαν ἀκμῆς καὶ σφριγῶν, αὔριον πάλιν χρόνῳ ἢ νόσῳ μαρανθεὶς διαλύεται; Ὁ δεινὰ περιβλεπτος καὶ περιδοξος, ὡς πολιτικήν τινα δυναστείαν κεκτημένος καὶ τὰς ἐκ βασιλέων τιμάς, κἀντεῦθεν καὶ ἐπίφθονός ἐστι τοῖς ἐντυγχάνουσι καὶ βαρυτάτην κατάπληξιν ἐμβάλλει τοῖς ἀρχομένοις; Ἀλλὰ τί τὸ μετὰ τοῦτο; μία νὺξ καὶ πυρετὸς εἷς, πλευρῖτις ἢ περιπνευμονία, ἀνάρπαστον τὸν τοιοῦτον πεποίηκε, κατὰ τὴν εἰκόνα τοῦ σοφοῦ Ἠσαΐου[1], *πᾶσα σὰρξ χόρτος καὶ πᾶσα δόξα ἀνθρώπου ὡς ἄνθος χόρτου*· πάλιν ὁ μὲν χθὲς βασιλεὺς ὤν, νῦν ἀφανής, ὁ σήμερον δ' αὖ ἰδιώτης ἢ δεσμώτης, αὔριον βασιλεὺς γίγνεται. Οὐχ ὑποχωρεῖ μὲν τὸ ἔαρ καὶ τὸ θέρος προσέρχεται, καὶ τὸ θέρος αὖθις τῷ φθινοπώρῳ ὑπεξίσταται, καὶ τὸ φθινόπωρον πάλιν τῷ χειμῶνι, ἥλιος δὲ τῇ σελήνῃ καὶ ἡ νὺξ τῇ ἡμέρᾳ; οὐδεμίαν γὰρ ἔχει προθεσμίαν ὁ βίος. Ταῦτ' ἄρα καὶ τοῖς εὖ φρονοῦσι τῶν ἀπαραιτήτων ἐστὶν ἐσαεὶ εἰς ἔννοιαν ἔρχεσθαι τοῦ ἀδρανοῦς τῆς δὲ τῆς ἀνθρωπίνης φύσεως· πάντα γὰρ φθορὰν ὑπομένει καὶ ἀφανισμόν, μόνα δὲ τὰ μέλλοντά εἰσι βέβαια καὶ αἰώνια. Διὰ δὴ τοῦτο καὶ Παῦλος ἡ μεγάλη σάλπιγξ τῆς Ἐκκλησίας καὶ ὡς ὑπόπτερος τῷ εὐαγγελικῷ κηρύγματι τὴν οἰκουμένην πᾶσαν διαδραμών, τὸ βάθος ἰδὼν τῆς ἀκαταληψίας τοῦ Θεοῦ ἔλεγεν· *ὦ βάθος πλούτου καὶ σοφίας καὶ γνώσεως Θεοῦ, ὡς ἀνεξερεύνητα τὰ κρίματα αὐτοῦ, καὶ ἀνεξιχνίαστοι αἱ ὁδοὶ αὐτοῦ*[4]· *τίς γὰρ ἔγνω νοῦν Κυρίου, ἢ τίς σύμβουλος αὐτοῦ ἐγένετο*[5]; Καὶ πλείστα

1. Ψαλμ. 11, 5.
2. Λουκ. 3, 14.
3. Ἐν τῷ κειμένῳ ὑπῆρχεν ὁ Σινωπεύς· τοῦτο διωρθώθη ἐγκαίρως ἐν τῇ ὕλῃ, ὡς ἔγραψα κἀγώ. Σημειωτέον δὲ ὅτι τὸ λάθος ἦν γραφικόν, διότι ὁ συγγραφεὺς καὶ ἀλλαχοῦ τὸν Πυθαγόραν Σάμιον ὠνόμασεν. Ἴδε Φιλοθέου Σηλυβρίας ἐγκώμ. εἰς Ἀγαθόνικον ἐν Migne, Patrol. τ. 154, σ. 1237.

1. Ἠσαΐας 40, 8.
2. Ψαλμ. 102, 14.
3. Ἠσαΐας 40, 7.
4. Ἱερεμ. 17, 9.
5. Ἠσαΐας 40, 13. Παῦλ. πρὸς Ῥωμ. 11, 33.

ἕτερα πρὸς τὸν αὐτὸν θεοφιλῆ σκοπὸν τείνοντα, πρὸς αὐτοὺς ἔλεγέ τε καὶ διετείνετο· οὐδὲ γὰρ ἦν ἰδιώτης τῇ γνώσει, οὐδὲ τῇ ἐκείνων ὁμιλίᾳ τὴν φωνὴν παρεμέτρει, οὐδὲ τὸ ἀττικίζειν ἐσπούδαζεν ὅλως (τίς γὰρ αὐτῷ τούτου φροντίς;), ἀλλ' ἐν νοήμασι μόνον εἶχε τὸ φθέγγεσθαι καὶ τὸ πιστεύειν· οὐδὲ γὰρ ἐξεπίτηδες, οὐδ' ἀπὸ φιλοτίμου γνώμης ἐφθέγγετο τὰ εἰρημένα, ἀλλ' ἐδίδου τὸ στόμα καὶ τὴν γλῶτταν τῷ θείῳ καὶ ἐνηχοῦντι Πνεύματι, καὶ ἐλάλει λόγον ἐν ἀνοίξει τοῦ στόματος, σοφίας μεστὸν καὶ χάριτος ὄργανον γεγονώς, τῷ τελειοποιῷ κρουόμενον Πνεύματι. Οὐδὲν πρὸς ταῦτα Πυθαγόραι καὶ Σωκράτεις ἐκεῖνοι, οὐδὲν Πλάτωνές τε καὶ Ἀριστοτέλεις, οὐδὲν Ἡρόδοτοι καὶ Θουκυδίδαι, οὐδὲν Δημοσθένεις καὶ Ἀριστείδαι, οὐχ Ἑρμῆς ὁ ἔφορος τοῦ λόγου καὶ κερδῷος καθ' Ἕλληνας· πάντες γὰρ ἀπηλέγχθησαν τῇ τοῦ Πνεύματος ἀρρήτῳ σοφίᾳ τε καὶ δυνάμει, εἰκῇ καὶ μάτην ὡς ἀπὸ γῆς φωνοῦντες καὶ φροῦδοι γεγόνασιν. Ὥσπερ γὰρ οἱ Ἀπόστολοι ἁλιεῖς ὄντες τῶν στωϊκῶν φιλοσόφων ἐφάνησαν σοφώτεροι τῇ τοῦ Πνεύματος χάριτι, ὡς δὲ καὶ ἐπὶ τούτου πάντες σοφοὶ καὶ ῥήτορες ἡττῶντο τῶν λόγων αὐτοῦ καὶ τῆς χάριτος καὶ ἰδεῖν ἐπὶ τούτῳ, ὃ κἀπὶ τῶν Ἀποστόλων μεθ' ὁμοίου τοῦ τρόπου καὶ τῆς προαιρέσεως (χρήματα γὰρ καὶ κτήματα, ἔτι γε μὴν καὶ ἐσθῆτας προσίασι καὶ ἐτίθουν παρὰ τοὺς πόδας αὐτοῦ εἰς διακονιὰν τῶν πτωχῶν), ἄρ' οὐχ ἱκανὴ ἡ χάρις τοῦ θαύματος εἰς κόρον ὑμᾶς ἡδῦναι; Ἐγὼ γὰρ ὑφ' ἡδονῆς ἔνθους ἀντικρυς γίνομαι καὶ τοὺς τῆς γλώττης ἐκείνης ἀπολελαυκότας μακαρίζω τε καὶ θαυμάζω. Τῆς ἀκοῆς οὖν ἐκείνου καὶ φήμης ταχυτάτῳ πτερῷ ἐπὶ πλέον διαθεούσης, καὶ δίκην ἡλιακῆς ἀκτῖνος τοὺς πάντας καταλαμπούσης, ἀπρὶξ εἴχετο αὐτοῦ ὁ δῆμος τῶν πτωχῶν τε καὶ τῶν πενήτων τοῦ λαβέσθαι ἕνεκα· κοινὴ γὰρ ἦν σφίσιν αὐτοῖς ἑστία, κοινὸν ταμιεῖον, κοινὸν θησαύρισμα καὶ μέγα ὄφελος. Ταῦτ' οὖν βλέπων ὁ μέγας καὶ ἐννοῶν, τῷ Θεῷ τὰς χάριτας ἐκ μέσης ψυχῆς ἀπεδίδου τῷ κινήσαντι τὰς τούτων καρδίας πρὸς οὕτω δαψιλεῖς εὐποιίας.

§ 10. Καιρὸς δὲ ἤδη καὶ ἣν χάριν ἐπλούτει τοῦ Πνεύματος εἰπεῖν βραχέα περὶ τῆς τῶν μελλόντων προρρήσεως, ἵνα μὴ πόρρω τοῦ δέοντος τὸν λόγον ἐκτείνωμεν, ἐπειδὴ καὶ τῇ πνευματικῇ αἴγλῃ περιλαμφθεὶς καὶ καταυγασθεὶς τὴν διάνοιαν, περὶ τῶν μελλόντων ὡς ἐνεστώτων ἀπεφαίνετο. Περὶ τὰ τῶν Θετταλῶν ὅρια πορευομένῳ ἀπὸ τῆς Θεομεγαλούντου καὶ εὐκλεεστάτης βασιλίδος τῶν πόλεων, ἔτι περὶ τὴν Μακεδονίαν διατρίβοντι καὶ τὰς περὶ αὐτὴν πόλεις καὶ κώμας εὖ ἐχούσας κατὰ πᾶν ὁτιοῦν ἀπιδόντι καὶ βριθούσας τοῖς ἀπείροις χρηστοῖς, διὰ σκοποῦ γέγονεν ἐπελθὼν τῷ μεγάλῳ ἐρέσθαι περὶ τούτων τοὺς ἑαυτοῦ φοιτητάς· «καθάπερ καὶ Ἰησοῦς ὁ ἐμὸς πρότερον περὶ τῆς Ἱερουσαλήμ, ὁρᾶτε ταῦτα πάντα; οὐ μὴ καταλειφθῇ οὐδὲν ἐξ αὐτῶν ὅσον οὔπω, μόλις δ' οὖν μόνα τινὰ φρούρια καὶ ἐρύματα καὶ πολίχνια παραθαλάσσια»· τοιγαροῦν κυρίως καὶ συνέδραμεν ἄρτι ὡς ὁρᾷν ἔξεστι. Ἥλιν τῶν μοναχῶν ποτε τὸν περίβολον οἰκοδομούντων περὶ τὴν Μάνδραν, ὁ μέγας μετὰ σπουδῆς πλείστης ἐξελθὼν τοῦ ἑαυτοῦ δώματος, καὶ παραγενόμενος πρὸς αὐτούς, «οὐχ ὁρᾶτε, ἔφη, ὦ τέκνα καὶ ἀδελφοί, τοὺς Σκύθας ἔξω ταυτησὶ τῆς πόλεως σκυλεύοντάς τε καὶ ἀτεκνοῦντας καὶ κτείνοντας ἀρειδῶς»; Οἱ δ' ἐνεοὶ ἑστῶτες μετ' ἐκπλήξεως ἀπεθαύμαζον καὶ οὐδ' ἀντιλέγειν ὅλως ἠδύναντο, τὸ περιὸν εἰδότες τοῦ προσόντος ἐκείνῳ προφητικοῦ χαρίσματος. Τοῦ ἐνιαυτοῦ τείνου ἐκείνου μόνου παρωχηκότος, ἐπελθόντες οἱ Σκύθαι, ὡς ὁ μέγας προεῖδεν ἠλλοιωμένοις τοῖς ὀφθαλμοῖς, πλείστα ἐσκύλευσαν, Μυσῶν ἄντικρυς λείαν πεποιημένοι τὰ τῶν Ῥωμαίων· οὐδέπω γὰρ προγεγενέστερον ἐπεστράτευσαν κατὰ τῆς Ῥωμαίων ἀρχῆς. Ὁ δὲ λόγος καὶ τοῦτο προσθεῖναι βούλεται. Μοναχοί τινες δύο τῷ ἁγίῳ προσελθόντες ὁμιλίας εἵνεκεν χρηστῆς, καὶ ὠφεληθέντες τὰ μέγιστα παρ' ἐκείνου, ἐξερχόμενοι τυχεῖν εὐλογίας ἤτουν· ὁ δὲ θατέρῳ τούτων τὴν ἐπὶ τοῖς τεθνεῶσιν εὐχὴν διήρχετο· ὃ δὴ καὶ κατὰ πόδας ἐξέβη· οὔπω γὰρ δύο παρελθουσῶν ἡμερῶν, μετέστη τῆς παρούσης ζωῆς, ἀποιχόμενος κατὰ τὴν τοῦ δικαίου πρόρρησιν. Τοῦτο τὸ θαῦμα καὶ κατὰ τὰς βασιλείους αὐλὰς ἐγεγόνει· κἀκεῖ γὰρ τῷ ἁγίῳ παραβαλόντι, καί τινες τῶν τῆς συγκλήτου προσπεσόντες τοῖς ἐκείνου ποσὶ μεθ' ὅσης αἰδοῦς καὶ σεβάσματος, ἠξίουν εὐλογίας τυχεῖν ἕκαστος. Ἑνὸς δ' ἐξ αὐτῶν τῆς κεφαλῆς ἁψάμενος, τὴν ἐπὶ τοῖς τεθνεῶσι πάλιν διήρχετο· τοιγαροῦν καὶ οὐκ εἰς μικρὸν ἐπηκολούθει ἐκείνῳ ἡ τῆς ζωῆς τελευτή· βραχεῖαι γὰρ παρῆλθον ἡμέραι καὶ θάνατος ἐπισκήπτει τῷ ἀνθρώπῳ. Ἀλλὰ καὶ ἕτερον ὁ λόγος ἐκθεῖναι βούλεται θαῦμα, καὶ οὐκ ἀνέχεται σιωπῇ παρελθεῖν. Ποτέ τις τῶν ἐπισήμων ἀνδρῶν καὶ συνήθων προσῆλθε τῷ θαυμαστῷ Μακαρίῳ μεγίστας ἐν τῇ κεφαλῇ φέρων τὰς ἀλγηδόνας καὶ ὑπ' αὐτῶν ἰσχυρῶς

ἐνοχλούμενος. Ὅθεν, ἐκεῖνος μὲν διεσήμανε περὶ αὐτῶν τῷ μεγάλῳ, ὁ δ' ἐκ τῆς σεβασμίας καὶ θείας καὶ ἱερᾶς ἑαυτοῦ κεφαλῆς κίδαριν ἐκβαλών, ταύτην τὸν πάσχοντα ἐκέλευσε περιθεῖναι τῇ κεφαλῇ καὶ μικρὸν ἀρυπνῶσαι. Τοῦτο τοίνυν δράσαντος, αὐτίκα καὶ ἡ θεραπεία τῷ λόγῳ ἐπακολούθησε, καὶ ἀναστὰς ὑγιαίνουσαν εἶχε τὴν κεφαλὴν καὶ ὑπερτέραν ἁπάσης ὀδύνης, ὡς περ ἂν εἰ μηδὲ τὴν ἀρχὴν ἤλγησεν. Ἄλλοτ' ἀρίστου γεγονότος μετὰ τῶν μαθητῶν καὶ τῆς τραπέζης μελλούσης αἴρεσθαι, διεκώλυεν ὅ,τι μάλιστα καὶ κατέσχεν ὁ μέγας, ὥστε προτιθέναι δῆθεν ἀπίων[1] ὀπώραν εἰς τὴν τροφήν· ἀρνουμένων δὲ καὶ διατεινομένων τῶν μαθητῶν μὴ κεκτῆσθαι· οὐ γὰρ ἦν καιρὸς τούτων, κἀκείνου πάλιν μηδαμῇ μηδαμῶς πεπαυμένου, ἀπελθόντες ἔνθεν κἀκεῖθεν τῆς κέλλης εὑρίσκουσιν ἐν σωλῆνί τινι ἄπια τρία τῷ μεγέθει μέγιστα καὶ τῇ ὀσμῇ εὐωδέστατα. Ταῦτα προτιθέντες εἰς μέσον, ἐκεῖνοι μὲν γευσάμενοι ἡδονῆς ἀφάτου ἐπλήσθησαν, ἀσθενεῖς δὲ καὶ ἄρρωστοι παράδοξον ὑγείαν εὕραντο. Οὐδὲ τοῦτο δίκαιον ὅλως παραδραμεῖν καὶ μὴ τῷ λόγῳ δοῦναι, καθόσον ἐνδέχεται, τῶν προειρημένων οὐδὲν ἔλαττον. Κατὰ τὴν μονὴν καθ'ἣν ὁ ἅγιος τὴν ἡσυχίαν ἐσκέπτετο καὶ προσανέχων διὰ παντὸς τῷ Θεῷ, ἀνήρ τις τῶν μονοτρόπων ταυτησὶ τῆς μονῆς ἐκκλησιαστικῆς ἀξιοῦται διακονίας δίχα τῆς γνώμης τοῦ πατρός, ἔξω που δηλονότι τῆς Μάνδρας· ὁ δ' εἰς τὸ ἅγιον θυσιαστήριον εἰσελθὼν μετὰ τὴν χειροτονίαν σὺν πρεσβυτέρῳ τινὶ τῶν ὑπὸ τὴν μονὴν τελούντων καὶ ἀσκουμένων, τὴν ἀναίμακτον λατρείαν ἐπιτελῶν, προσήεισι πρὸς τοῖς ἄλλοις τῷ νεῷ, κατὰ τὸ εἰωθός, καὶ ὁ ἅγιος. Πεῦσιν οὖν ποιεῖται πρὸς τοὺς μαθητάς, ὡς ἀγνοῶν δῆθεν, τίς ἄρα εἴη ὁ νέηλυς οὑτωσὶ λειτουργῶν Λευίτης εὐφώνως, οὕτω γε καὶ λιγηρῶς· ἐτύγχανε γὰρ ὤν, ὡς φασιν οἱ τὸν ἄνδρα γινώσκοντες, περὶ ταῦτα δεινὸς καὶ ἀμείνων πάντων σχεδὸν τῶν ἀρίστων· τῶν δ' ἀποκρινομένων ὡς ὁ ἡμέτερος Μακάριος εἴη, οὕτω γὰρ ἐκαλεῖτο, «πάντες ἴστε, φησὶν ὁ μέγας, ὡς οὐκέτι τοιαύτης θυσίας ὑπηρέτης γενήσεται»· τοιγαροῦν καὶ τὸ πρᾶγμα κατὰ τάχος ἐξέβη· νόσῳ γὰρ χαλεπωτάτῃ κάτοχος γεγονώς, ἀπαίρει τοῦ ζῆν. Καὶ πολλ' ἕτερα προσεῖπε καὶ εἰς τέλος ἐξέβησαν.

§ 11. Ἀλλ' ὁ μὲν βίος τοῦ μεγάλου ἐς τοσοῦτον. Δεῖ δὴ καὶ περὶ τῶν τεσσάρων αὐτοῦ μαθητῶν ἐμαυτόν, ὡς οἷόν τε, δώσω τῷ λόγῳ καὶ δείξω τὸν διδάσκαλον ἐκ τῶν μαθητῶν· ἐπεὶ καὶ ἔρθην εἰπὼν καὶ βραχέα ἄττα περὶ σφῶν αὐτῶν ἄνωθεν διεξελθεῖν· πολλῶν γὰρ αὐτῷ διαγενομένων καλῶν κἀγαθῶν (πῶς γὰρ οὔ, ἐπεὶ καὶ τὸ δένδρον ἐκ τοῦ καρποῦ γινώσκεται, καὶ οὐ δύναται δένδρον καλὸν καρποὺς σαπροὺς ποιεῖν, εἰ καὶ φύεται καὶ ἐν ἀμπέλῳ βότρυς τῆς Γραφῆς ἠκούσαμεν, καὶ ὁ Ἰούδας ἐν τῷ χορῷ τῶν μαθητῶν ἦν;), ἐγὼ δὲ τεττάρων μόνων, οἳ καὶ βελτίους τῶν ἄλλων ὄντες ἐδόκουν, μνησθήσομαι καὶ τὰς σφῶν αὐτῶν ἀρετὰς ἐγγράψω τῷ λόγῳ, μηδέν τι νόθον, μηδὲ τῆς ἀληθείας ἐκτὸς διηγούμενος. Πρῶτος τοίνυν αὐτῶν Ἀνδρέας ἦν ὁ φύσει ἁπλοῦς, ὃς τῷ ἁγίῳ παρέμεινεν ἑξήκοντα ἔτεσι καὶ μικρόν τι πρός, ἑπόμενος τῷ μεγάλῳ, ἐπὶ τὰ κατὰ τὴν Ἐφὰν ἀσκητήρια πορευομένῳ, εἰς τὰ ἐν τοῖς ὄρεσιν, εἰς τὰ ἐν τοῖς σπηλαίοις καὶ πανταχῇ, πρὸς ἓν καὶ αὐτὸς βλέπων μόνον, τὸ τὸν ἴσον δρόμον διώκειν καὶ κατ' ἴχνος βαίνειν ἐκείνῳ καὶ τὴν σκληράν καὶ ἐπίπονον ἀρετὴν κατορθοῦν καὶ τὸν ἐκείνου ζῆλον καὶ τρόπον ἁπαξαπλῶς ἐκμιμεῖσθαι, δεύτερος Παῦλος ἁπλοῦς συνὼν Ἀντωνίῳ θείῳ πατρί, διδοὺς κόπους Χριστῷ, κατὰ τὸν Σχολαστικὸν Ἰωάννην τὸν τῆς Κλίμακος, ἐκ νεότητος, κἂν γήρᾳ σχὼν γαράν καὶ παραμυθίαν, φιλοσοφῶν ὁμοίως τῷ διδασκάλῳ, χρηστὸν ζυγὸν ἐκ νεότητος αἴρων μέχρι βαθυτάτου καὶ λιπαροῦ τοῦ γήρους, νεκρώσας πᾶν φρόνημα τῆς σαρκός, Θεῷ τε καὶ τῷ διδασκάλῳ καθάπαξ ἐκδοὺς ἑαυτόν, ἐκκύψας πᾶν θέλημα, μηδὲν τὸ παράπαν λέγων ἢ ἀντιλέγων ὥς περ τινες νόθοι τῶν μαθητῶν, πάντα ποιῶν καὶ πράττων καὶ ὑπὸ τῷ ἐκείνου ἀγόμενος θελήματι, καθάπερ κελευόμενος ὑπὸ τοῦ Χριστοῦ. Διὰ δὴ ταῦτα καὶ ὁ μέγας οὐκ ἔλαθε δοκιμάζων αὐτὸν καὶ πρὸς τὴν καλλίστην ὁσημέραι ἐνάγων τῆς ἀρετῆς ὁδὸν καὶ προξενῶν τὰ ψυχωφελῆ καὶ σωτήρια καὶ τοπ . . . ἱκανῶς, καὶ πλύνων ταῖς ὕβρεσιν· ὅθεν καὶ λοιδορούμενος ἔχαιρε μᾶλλον ἢ ἤχθετο. Ὁ μὲν οὖν θεῖος ἀνὴρ ὁ τῆς Κλίμακος, τρεῖς ἄνδρας ἡμῖν ὑπομονητικοὺς ἱστορήσας παρέδωκεν, ἐμοὶ δέ, καὶ τούτου προστεθέντος ἀξίως, τέτταρας νῦν ἐννοεῖν ἐπέρχεται· τρεῖς γάρ φησιν ἐκεῖνος ἑώρακα μονοτρόπους ἀτιμασθέντας· καὶ ὁ μὲν δέδηκτο μέν, σεσιώπηκε δέ· ὁ δὲ ἐχάρη μὲν ἑαυτοῦ χάριν, λελύπητο δὲ περὶ τοῦ λοιδορήσαντος· ὁ δὲ τρίτος τὴν τοῦ πλησίον βλάβην ἀνατυπωσάμενος ἐδάκρυσε θερμῶς. Διὰ τοῦτο καὶ οὗτος τυπτόμενός τε καὶ λοιδορούμενος μετρίως, πάντα

1. Ἐν τῷ κώδικι ἀ π ύ ω ν· οὕτω καὶ κατωτέρω.